
HARVARD
UNIVERSITY
LIBRARY

SOPHOCLIS

OEDIPUS COLONEUS.

DENUO RECENSUIT

ET BREVI ANNOTATIONE CRITICA

INSTRUXIT

FREDERICUS H. M. BLAYDES, M.A. OXON.


HON. LL.D. DUBLIN. PHIL. D. BUDAPEST. SODALIS SOC. LITT. ATHEN. ETC.

AEDIS CHRISTI IN UNIVERSITATE OXONIENSI QUONDAM ALUMNUS

HALIS SAXONUM,

IN ORPHANOTROPHEI LIBRARIA.

MDCCCCIV.


HARVARD COLLEGE
AUG 16 1907
LIBRARY.

ΣΟΦΟΚΛΕΟΥΣ

ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩι.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΟΙΔΙΠΟΥΣ.
ΑΝΤΙΓΟΝΗ.
ΞΕΝΟΣ.
ΧΟΡΟΣ ΑΤΤΙΚΩΝ ΓΕΡΟΝΤΩΝ.
ΙΣΜΗΝΗ.
ΘΗΣΕΥΣ.
ΚΡΕΩΝ.
ΠΟΛΥΝΕΙΚΗΣ.
ΑΓΓΕΛΟΣ.

ΥΠΟΘΕΣΙΣ.[a]

Ὁ ἐπὶ Κολωνῷ Οἰδίπους συνημμένος πώς ἐστι τῷ ΤΥΡΑΝΝΩΙ. τῆς γαρ πατρίδος ἐκπεσὼν ὁ Οἰδίπους ἤδη γεραιὸς ὢν ἀφικνεῖται εἰς Ἀθήνας, ὑπὸ τῆς θυγατρὸς Ἀντιγόνης χειραγωγούμενος· ἦσαν γὰρ[b] τῶν ἀρσένων περὶ τὸν πατέρα φιλοστοργότεραι. ἀφικνεῖται δὲ εἰς Ἀθήνας κατὰ πυθόχρηστον, ὡς αὐτός φησι, χρησθὲν αὐτῷ παρὰ ταῖς σεμναῖς καλουμέναις θεαῖς μεταλλάξαι τὸν βίον. τὸ μὲν οὖν πρῶτον γέροντες ἐγχώριοι, ἐξ ὧν ὁ χορὸς συνέστηκε, πυθόμενοι συνέρχονται καὶ διαλέγονται πρὸς αὐτόν. ἔπειτα δὲ Ἰσμήνη παραγενομένη τὰ κατὰ τὴν στάσιν ἀπαγγέλλει τῶν παίδων καὶ τὴν γενομένην ἄφιξιν τοῦ Κρέοντος πρὸς αὐτόν· ὃς καὶ παραγενόμενος ἐπὶ τῷ ἀγαγεῖν αὐτὸν εἰς τοὐπίσω ἄπρακτος ἀπαλλάττεται. ὁ δὲ πρὸς τὸν Θησέα διελθων τὸν χρησμὸν οὕτω τὸν βίον καταστρέφει παρα ταῖς θεαῖς.

Τὸ δὲ δρᾶμα τῶν θαυμαστῶν· ὃ καὶ ἤδη γεγηρακὼς ὁ Σοφοκλῆς ἐποίησε, χαριζόμενος οὐ μόνον τῇ πατρίδι ἀλλὰ καὶ τῷ ἑαυτοῦ δήμῳ (ἦν γὰρ Κολωνῆθεν), ὥστε τὸν μὲν δῆμον ἐπίσημον ἀποδεῖξαι, χαρίσασθαι δὲ καὶ τὰ μέγιστα τοῖς Ἀθηναίοις, δι' ὧν ἀπορθήτους ἔσεσθαι καὶ τῶν ἐχθρῶν αὐτοὺς κρατήσειν ὑποτίθεται ὁ Οἰδίπους, προαναφωνῶν καὶ ὅτι διαστασιάσουσι πρὸς Θηβαίους ποτὲ καὶ τούτων κρατήσουσιν ἐκ χρησμῶν διὰ τὸν τάφον αὐτοῦ.

a) De argumenti expositionibus his, quas codici Laurentiano debemus, vide quae in annotationibus ad scholia diximus vol. 2. p. 14—18. DIND.

b) ἦσαν γὰρ] Excidisse videtur *αἱ θυγατέρες*, nisi negligentius locutus hoc ex praecedente *τῆς θυγατρὸς* colligi voluit, pro quo Brunckius *μιᾶς τῶν θυγατέρων* scripsit, ut infra legitur in Argumento Salustii. DIND.

Η σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ Ἀττικῇ ἐν τῷ ἱππίῳ Κολωνῷ, πρὸς τῷ ναῷ τῶν σεμνῶν. ὁ δὲ χορὸς συνέστηκεν ἐξ Ἀθηναίων ἀνδρῶν. προλογίζει Οἰδίπους.

ΑΛΛΩΣ.

Τὸν ἐπὶ Κολωνῷ Οἰδίποδα ἐπὶ τετελευτηκότι τῷ πάππῳ Σοφοκλῆς ὁ υἱδοῦς ἐδίδαξεν, υἱὸς ὢν Ἀρίστωνος, ἐπὶ ἄρχοντος Μίκωνος[a], *ὅς ἐστι τέταρτος ἀπὸ Καλλίου, ἐφ' οὗ φασιν οἱ πλείους τὸν Σοφοκλέα τελευτῆσαι. σαφὲς δὲ τοῦτ' ἐστὶν ἐξ ὧν ὁ μὲν Ἀριστοφάνης ἐν τοῖς Βατράχοις ἐπὶ Καλλίου ἀνάγει τοὺς τραγικοὺς ὑπὲρ γῆς, ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως*

μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας,
καλῶς δ' ἐτελεύτησ' οὐδὲν ὑπομείνας κακόν.

ἐπὶ δὲ τῷ λεγομένῳ ἱππίῳ Κολωνῷ το δρᾶμα κεῖται. ἔστι γὰρ καὶ ἕτερος Κολωνὸς ἀγοραῖος πρὸς τῷ Εὐρυσακείῳ, πρὸς ᾧ οἱ μισθαρνοῦντες προειστήκεισαν, ὥστε καὶ τὴν παροιμίαν ἐπὶ τοῖς καθυστερίζουσι τῶν καιρῶν διαδοθῆναι

ὄψ' ἦλθες, ἀλλ' ἐς τὸν Κολωνὸν ἴεσο.

μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων

οὗτος, πόθεν ἦλθες; Ἐς Κολωνὸν ἱέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

ΣΑΛΟΥΣΤΙΟΥ ΥΠΟΘΕΣΙΣ.

Τὰ πραχθέντα περὶ τὸν Οἰδίποδα ἴσμεν ἅπαντα τὰ ἐν τῷ ἑτέρῳ Οἰδίποδι. πεπήρωται γὰρ καὶ ἀφῖκται εἰς τὴν Ἀττικήν, ὁδηγούμενος ἐκ μιᾶς τῶν θυγατέρων, Ἀντιγόνης. καὶ ἔστιν ἐν τῷ τεμένει τῶν σεμνῶν, ὅ ἐστιν ἐν τῷ καλουμένῳ

a) *ἐπὶ ἄρχοντος Μίκωνος*] Olymp. 94, 3.

ἱππίῳ Κολωνῷ, οὕτω κληθέντι ἐπεὶ καὶ Ποσειδῶνός ἐστιν ἱερὸν ἱππίου καὶ Προμηθέως, καὶ αὐτοῦ οἱ ὀρεωκόμοι ἵστανται. ἔστι γὰρ αὐτῷ πυθόχρηστον ἐνταῦθα δεῖν αὐτὸν ταφῆς τυχεῖν· οὗ μή ἐστιν ἑτέρῳ βεβήλῳ τόπος αὐτόθι κάθηται· καὶ κατὰ μικρὸν αὐτῷ τὰ τῆς ὑποθέσεως προέρχεται. ὁρᾷ γάρ τις αὐτὸν τῶν ἐντεῦθεν καὶ πορεύεται ἀγγελῶν ὅτι τις ἄρα[b] τῷ χωρίῳ τούτῳ προσκάθηται. καὶ ἔρχονται οἱ ἐν τῷ τόπῳ ἐν χοροῦ σχήματι μαθησόμενοι τὰ πάντα. πρῶτος οὖν ἐστι καταλύων τὴν ὁδοιπορίαν καὶ τῇ θυγατρὶ διαλεγόμενος. ἄφατος δέ ἐστι καθόλου ἡ οἰκονομία ἐν τῷ δράματι ὡς οὐδενὶ ἄλλῳ σχεδόν.

ΣΟΦΟΚΛΕΟΥΣ ΟΙΔΙΠΟΥΣ ΕΠΙ ΚΟΛΩΝΩι.

ΟΙΔΙΠΟΥΣ.

Τέκνον τυφλοῦ γέροντος Ἀντιγόνη, τίνας
χώρους ἀφίγμεθ' ἢ τίνων ἀνδρῶν πόλιν;
τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι,
σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι
μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί;
στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν
μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον.
ἀλλ', ὦ τέκνον, θάκησιν εἴ τινα βλέπεις
ἢ πρὸς βεβήλοις ἢ πρὸς ἄλσεσιν θεῶν,
στῆσόν με κἀξίδρυσον, ὡς πυθώμεθα

b) *ἄρα*] Suspectum. Qu. *ἀνὴρ* aut *γέρων*.
4. *δωρήμασι* B. *δωρήμασιν* L. al.
5. *σμικροῦ* A. B. al. *μικροῦ* L. al.
7. *χὠ χρόνος ξυνὼν μακρὸς*] Qu. *χὠ μακρὸς χρόνος | ξυνών*.
9. *θάκοισιν* mss. *θάκησιν* Seidler. Sic *ἐνθάκησις* Ph. 18.
10. *ἢ πρὸς βεβήλοις*] Fort. *ἤτοι βέβηλον*.
11. *κἀξίδρυσον* mss. *κἀφίδρυσον* (aut *κἀν*.) conj. Mein. *πυθοίμεθα* mss. *πυθώμεθα* Br.

ὅπου ποτ' ἐσμέν· μανθάνειν γὰρ ἥκομεν
ξένοι πρὸς ἀστῶν, ἂν δ' ἀκούσωμεν τελεῖν.

ΑΝΤΙΓΟΝΗ.

πάτερ ταλαίπωρ' Οἰδίπους, πύργοι μὲν οἳ
πόλιν στέφουσιν, ὡς ἀπ' ὀμμάτων, πρόσω·
χῶρος δ' ὅδ' ἱρὸς, ὡς ἐπεικάσαι, βρύων
δάφνης, ἐλάας, ἀμπέλου· πυκνόπτεροι δ'
εἴσω κατ' αὐτὸν εὐστομοῦσ' ἀηδόνες·
οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου,
μακρὰν γὰρ ὡς γέροντι προυστάλης ὁδόν.

ΟΙ. κάθιζέ νύν με καὶ φύλασσε τὸν τυφλόν.
ΑΝ. χρόνου μὲν εἵνεκ' οὐ μαθεῖν με δεῖ τόδε.
ΟΙ. ἔχεις διδάξαι δῆθ' ὅποι καθέσταμεν;
ΑΝ. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.
ΟΙ. πᾶς γάρ τις ηὔδα τοῦτό γ' ʽμὶν ἐμπόρων.
ΑΝ. ἀλλ' ὅστις ὁ τόπος ἦ μάθω μολοῦσά ποι;
ΟΙ. ναὶ, τέκνον, εἴπερ ἐστί γ' ἐξοικήσιμος.
ΑΝ. ἀλλ' ἐστὶ μὴν οἰκητός· οἶομαι δὲ δεῖν
οὐδὲν, πέλας γὰρ ἄνδρα τόνδε νῷν ὁρῶ.
ΟΙ. ἦ δεῦρο προσστείχοντα κἀξορμώμενον;

13. ʽἂν (om. δ') A. L. χ' ἃ ʺν B. ἂν δ' Elmsl. χἂν (i. e. καὶ ἃ ἂν) conj. Dind., cui tamen aptius videtur ἂν δ'. Mihi aptius videtur χἂν. Cf. ad O. R. 749. ἂν δ' (ἃ δ' ἂν al.).

15. στέγουσιν mss. στέφουσιν recte, opinor, Wakefield. Cf. Ant. 122. στεφάνωμα πύργων. Eur. Hec. 910. Dionys. Perieg. 1006. Paus. 9, 15. ὡς ἀπ' ὀμμάτων] Cf. Aesch. Ag. 988. Eur. Med. 218.

16. ἱερὸς] ἱρὸς plerique mss. Dind. ὡς ἀπεικάσαι plerique mss. ὡς σάφ' εἰκάσαι A. Elmsl. Wund. Jebb. Lege ὡς ἐπεικάσαι. Cf. 152. ὅσ' ἐπεικάσαι. et ad Tr. 141. 1220.

17. Qu. δάφναις, ἐλάαις, ἀμπέλοις.

21. νυν] νῦν L.

23. δή (δῆ sec. m.) L. Qu. δῆθ'. Cf. 52. ὅποι A. L. ὅπου B. ὅπῃ al. Cf. 227. 476.

25. τοῦτό γ' K. corr. τοῦτον L. et al. ἡμῖν vulg. Dedi ἡμίν.

27. ἐξοικήσιμος] Nauckio suspectum. Fort. οἰκητός· τί μήν;

29. οὐδὲν πονεῖν· πέλας γὰρ ἄνδρα τόνδ' (aut νῷν) ὁρῶ Mein.

30. προστείχοντα A. L. al. προσστείχοντα B. T. Dind. Mein. κἀξορμώμενον] κἀφορμώμενον (i. e. καὶ ἐφ.?) Mein. Fortasse recte.

ΑΝ. καὶ δὴ μὲν οὖν παρόντα· χὤ τι σοι λέγειν
εὔκαιρόν ἐστιν ἔννεφ', ὡς ἀνὴρ ὅδε.
ΟΙ. ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπέρ τ' ἐμοῦ
αὐτῆς ϑ' ὁρώσης οὕνεχ' ἡμὶν αἴσιος
σκοπὸς προσήκεις ἅστ' ἄδηλ' ἡμῖν φράσαι —

ΞΕΝΟΣ.

πρίν νυν τὰ πλεῖον' ἱστορεῖν ἐκ τῆσδ' ἕδρας
ἔξελϑ', ἔχεις γὰρ χῶρον οὐχ ἁγνὸν πατεῖν.
ΟΙ. τίς δ' ἔσϑ' ὁ χῶρος; τοῦ ϑεῶν νομίζεται;
ΞΕ. ἄϑικτος οὐδ' οἰκητὸς, αἱ γὰρ ἔμφοβοι
ϑεαί σφ' ἔχουσι Γῆς τε καὶ Σκότου κόραι.
ΟΙ. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων;
ΞΕ. τὰς πάνϑ' ὁρώσας Εὐμενίδας ὅ γ' ἐνϑάδ' ἂν
εἴποι λεώς νιν, ἄλλα δ' ἀλλαχοῦ καλά.
ΟΙ. ἀλλ' ἵλεῳ 'μὲ τὸν ἱκέτην δεξαίατο·
ὡς οὐχ ἕδρας γε τῆσδ' ἂν ἐξέλϑοιμ' ἐγώ.
ΞΕ. τί δ' ἐστὶ τοῦτο; ΟΙ. ξυμφορᾶς ξύνϑημ' ἐμῆς.
ΞΕ. ἀλλ' οὐδ' ἐμοί τοί σ' ἐξανιστάναι πόλεως

32. ἀνὴρ mss.

33. ἀκούων mss. ἀκούω Tricl. Fortasse recte.

34. αὐτῆς (om. ϑ') L. et Lb. ἡμὶν] ἡμῖν mss.

35. τῶν ἃ δηλοῦμεν A. τῶν ἀδηλοῦμεν A. K. T. et (ἃ δηλοῦμεν ab S.) L. ὧν ἀδηλοῦμεν Elmsl. al. Correxi ἅστ' (i. e. ἅ ἐστι) ἄδηλ' ἡμῖν. Qu. ὥστ' (aut πάνϑ') ἃ μὴ 'ξισμεν φράσαι. Cf. 13. ἃν δ' ἀκούσωμεν τελεῖν (ἥκομεν). Analogiae, ni fallor, repugnat ἀδηλεῖν.

39. ἔμφοβοι] Nauckio suspectum.

40. σκότου A. T. σκότους B. K. L.

41. κλύων] καλῶν (invocans) Herw. λέγων F. W. Schmidt.

42. ὦν mss. ἂν Vauv.

44. ἵλεω (sic B. T. aut ἵλεως A. K. L.) μὲν mss. ἵλεῳ μὴν Elmsl. ἵλεῳ ἐμὲ recte Nauck. Wecklein. τόνδ' mss. τὸν edit. Lond. 1747.

45. ὥστ' mss. ὡς Elmsl. ἕδρας γῆς τῆσδ' mss. Linw. — conj. Nauck. ἕδρας ἐκ τῆσδ' Henneberger. ἕδρας γε τῆσδ' recte Musgr. ἔτι mss. Correxi ἐγώ.

47. ἐμόν τοι (τι B. T.) mss. ἐμοί τοι Seidler. τοὐξανιστάναι mss. Lege σ' ἐξανιστάναι.

δίχ' ἐστὶ θάρσος πρὶν γ' ἂν ἐνδείξῃ τί δρῶ.
ΟΙ. πρός νυν θεῶν, ὦ ξεῖνε, μή μ' ἀτιμάσῃς,
τοιόνδ' ἀλήτην, ὧν σε προστρέπω φράσαι.
ΞΕ. σήμαινε, κοὐκ ἄτιμος ἔκ γ' ἐμοῦ φανεῖ.
ΟΙ. τίς ἔσθ' ὁ χῶρος δῆτ' ἐν ᾧ βεβήκαμεν;
ΞΕ. ὅσ' οἶδα κἀγὼ πάντ' ἐπιστήσει κλύων.
χῶρος μὲν ἱρὸς πᾶς ὅδ' ἔστ'· ἔχει δέ νιν
σεμνὸς Ποσειδῶν, σὺν δ' ὁ πυρφόρος θεὸς
Τιτὰν Προμηθεύς· ὃν δ' ἐπιστείβεις τόπον
χθονὸς καλεῖται τῆσδε χαλκόπους ὀδός,
ἔρεισμ' Ἀθηνῶν· οἱ δὲ πλησίοι γύαι
τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν
ἀρχηγὸν εἶναι, καὶ φέρουσι τοὔνομα
τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι.
τοιαῦτά σοι ταῦτ' ἐστὶν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.
ΟΙ. ἦ γάρ τινες ναίουσι τούσδε τοὺς τόπους;
ΞΕ. καὶ κάρτα, τοῦδε τοῦ θεοῦ γ' ἐπώνυμοι.

48. ἐνδείξω mss. ἐξειδῶ Martin. Lege ἐνδείξῃ (sc. ἡ πόλις). Idem conj. Schn.

49. πρός νυν] πρὸς νῦν L.

51. ἄτιμος (sic) γ' ἔκ γ' ἐμοῦ φανεῖ K. L. ἄτιμος ἐξ ἐμοῦ φανεῖ B. T. Legerim ἄτιμος ἐξ ἐμοῦ γ' ἔσει.

52. τίς δ' ἔσθ' mss. Lege τίς ἔσθ'.

54. ἱερὸς mss. ἱρὸς Dind. Cf. ad 16.

55. ἐν δ' mss. ἠδ' Nauck. Weckl. Sed ita requireretur ἔχουσι. Dedi σὺν δ'. Cf. O. R. 27.

57. ὁδὸς mss. ὀδὸς Br.

58. γρ. αἱ δὲ πλησίον γύαι L. ab S. οἱ A. αἱ B. K. T. πλησίοι A. L. πλησίον B. K. T.

59. τόνδ' A. B. L. al. τὸν K. Reisk. Mein. Dind. Herw. Cf. ad 44. 78. ἱππότην mss. ἵππιον conj. Nauck. Recte, opinor. ἱππότης valet eques, ἵππιος equestris.

61. ὠνομασμένον mss. Correctum ex schol. in nonnullis mss.

62. σοι] Fort. τοι. ὦ ξέν', οὐ λόγοις] οὐ ξένων λόγοις conj. Mein.

63. τιμώμεν'] Suspectum. ξυνουσίᾳ πλέον mss. ξυνουσίᾳ, γέρον Mein. πλέον (sup. ω pr. m.) L. πλέω Suid. s. v. ξυνουσία. λεὼ conj. Schn.

ΟΙ. ἄρχει τις αὐτῶν ἢ 'πὶ τῷ πλήθει τέλος;
ΞΕ. ἐκ τοῦ κατ' ἄστυ βασιλέως τάδ' ἄρχεται.
ΟΙ. οὗτος δὲ τίς λόγῳ τε καὶ σθένει κρατεῖ;
ΞΕ. Θησεὺς καλεῖται, τοῦ πρὶν Αἰγέως τόκος.
ΟΙ. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι;
ΞΕ. ὡς πρὸς τί; λέξων ἢ καταρτύσων μολεῖν;
ΟΙ. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα.
ΞΕ. καὶ τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις;
ΟΙ. ὅσ' ἂν λέγωμεν πάνθ' ὁρῶντα λέξομεν.
ΞΕ. εὖ γ', ὦ ξέν', ὡς δὲ μὴ σφαλῇς; ἐπείπερ εἶ
γενναῖος ὡς ἰδόντι πλὴν τοῦ δαίμονος,
αὐτοῦ μέν' οὗπερ κἀφάνης ἕως ἐγὼ
τοῖς ἐνθάδ' αὐτοῦ, μὴ κατ' ἄστυ, δημόταις
λέξω τάδ' ἐλθών· οἵδε γὰρ κρινοῦσί σοι
εἰ χρή σε μίμνειν ἢ πορεύεσθαι πάλιν.
ΟΙ. ὦ τέκνον, ἦ βέβηκεν ἡμὶν ὁ ξένος;
ΑΝ. βέβηκεν, ὥστε πᾶν ἐν ἡσύχῳ, πάτερ,
ἔξεστι φωνεῖν ὡς ἐμοῦ μόνης πέλας.

66. λόγος mss. κράτος probabiliter Bonitz. Nauck. σθένος conj. Mein. (Schol. ἢ ἐν τῷ πλήθει ἐστὶν ἡ ἰσχύς.) Cf. 68. Sed praestat, ni fallor, τέλος. Idem proponit Bergk.

70. ἂν A. οὖν B. K. L. T.

71. ὡς πρὸς mss. ὅπως (et παρῇς cum Dind.) conj. Nauck. λέξων ἢ — mss. λέξον. ἢ — Elmsl. Mein. καταρτύσων. μολεῖν (sic A. R. schol. μόλοι B. K. L. T.) mss. καταρτύσων παρῇ Dind. καταρτύσων A. K. L. T. al. καταρτίσων B. μολεῖν A. al. et Suid. s. v. καταρτίζω. μόλοι L. al.

72. μικρὰ mss. σμικρὰ Elmsl.

75. οἶσθ' B. L. T. al. ἴσθ' K. εὖ γ' Herw. ὡς νῦν μὴ σφαλῇς mss. ὡς δ' οὖν μὴ σφαλῇς Mein. Ipse malim ὥς νυν aut ὡς δέ. Qu. ὡς οὐ μὴ σφαλῇς (how you will avoid going wrong) Cf. ad O. R. 543. οἶσθ' ὡς ποίησον.

76. ὡς ἰδόντι mss. Qu. ὡς ἰδεῖν γε, ut ὡς ἐπεικάσαι in 16. τοῦ δαίμονος mss. Qu. σοῦ δαίμονος. Cf. El. 1156. Aj. 534. O. R. 1194. Ph. 1186. 78. τοῖσδ' mss. τοῖς Br.

79. σοι A. B. T. et (γε sup. fort. pr. m., sed alio atramento) L. κρινοῦσί σοι] κρινοῦσιν εὖ Elmsl. Fort. κρινοῦσί που.

80. ἢ mss. εἰ Turn. Cf. Ant. 1217. Eur. Or. 48 sq. Med. 493. etc.

83. ὡς ἐμοῦ μόνης πέλας] Sub. οὔσης. Cf. 1588. O. R. 966.

ΟΙ. ὦ πότνιαι δεινῶπες, εὖτε νῦν ἕδρας
πρώτων ἐφ' ὑμῶν τῆσδε γυῖ' ἔκαμψ' ἐγώ,
Φοίβῳ τε κἀμοὶ μὴ γένησθ' ἀγνώμονες,
ὅς μοι, τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακά,
ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ,
ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν
σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν,
ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον,
κέρδη μὲν οἰκήσοντα τοῖς δεδεγμένοις,
ἄτην δὲ τοῖς πέμψασιν, οἵ μ' ἀπήλασαν·
σημεῖα δ' ἥξειν τῶνδέ μοι φερέγγυα,
ἢ σεισμὸν ἢ βροντήν τιν' ἢ Διὸς σέλας.

84. *εὖτε νῦν ἕδρας — τῆσδε γῆς ἔκαμψ'* mss. Construendum videtur *εὖτε νῦν ἐφ' ἕδρας τῆσδε πρώτων ὑμῶν ἔκαμψα ἐγὼ γυῖα.* Cf. 19. *οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου* (ut hic *ἕδρας τῆσδε*). 90. *ὅπου θεῶν σεμνῶν ἕδραν λάβοιμι —, ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον.* 233. *τῶνδ' ἑδράνων — ἔκθορε.* 170. *ἐκ τῶνδ' ἑδράνων.* 36. *ἐκ τῆσδ' ἕδρας | ἔξελθε.* 45. 1165. O. R. 2. Qu. *εὖτε γυῖ' ἕδρας — τῆσδε γῆς,* aut *εὖτε νῦν ἕδρᾳ — τῇδε γυῖ' ἔκαμψ',* aut *εὖτ' ἐς τήνδ' ἕδραν,* aut *εὖτ' ἐν τῇδ' ἕδρᾳ* (*ἕδρας* corruptum fuerit ex *ἕδραι*), aut *εὖτε τήνδ' ἕδραν, — τῆσδε γῆς εἴληφ' ἐγώ.* Sed *νῦν* defendere videtur v. 203. *ὅτε νῦν χαλᾷς.* *νῦν* mss. Qu. *γυῖ'* aut *κῶλ'* (19.).

85. *πρώτων ἐφ' ὑμῶν* —] Apud vos primum. Cf. 99. Arist. Eq. 1312. *ἢ 'πὶ τῶν σεμνῶν θεῶν* (*πλεούσας*). Nisi praepositio *ἐπὶ* ad *ἕδρας* potius pertinet. Cf. ad 84. *τῆσδε γῆς* mss. *τῆσδε γυῖ'* Burges. *τάσδε* (*ἕδρας*) *γυῖ'* Bergk. Cf. 36. *ἐκ τῆσδ' ἕδρας | ἔξελθε.* 45. *ὡς οὐχ ἕδρας γε* (*γῆς* mss.) *τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι.* Sed *τῆσδε γῆς* pluries in hac fabula legitur. *ἔκαμψ'*] Cf. 19. *οὗ κῶλα κάμψον* —. Frustra, opinor, absolute hoc accipit Jebb, coll. Eur. Hec. 1079. *πᾷ βῶ, πᾷ στῶ, πᾷ κάμψω* (sc. *γόνυ*); Sensui bene conveniret *εἴληφ'* (*ἕδραν — τήνδε*).

90. *ξενόστασιν*] *γρ. καὶ κατάστασιν* ab S. in L.

92. *οἰκήσαντα* mss. *οἰκήσοντα* Tricl. *ἐμπολῶντα* conj. Nauck. Fort. *εἰσοίσοντα.* Cf. 627. 636. 784.

94. *παρεγγύα* L. al. *παρεγγύα* K. et (sup. *η*) A. *παρηγγύα* B. Jebb. *φερέγγυα* Herw. Nauck. Recte, opinor.

95. *ἢ σεισμὸν*] *γῆς σεισμὸν* Burges. mss. *βροντήν τιν'*] Qu. *βροντήματ'.* *ἢ Διὸς σέλας*] *ἢ 'κ Διὸς βέλος* Burges, coll. 1468.

ἔγνωκα μέν νυν ὥς με τήνδε τὴν ὁδὸν
οὐκ ἔσθ' ὅπως οὐ πιστὸν ἐξ ὑμῶν πτερὸν
ἐξήγαγ' ἐς τόδ' ἄλσος· οὐ γὰρ ἄν ποτε
πρώταισιν ὑμῖν ἀντέκυρσ' ὁδοιπορῶν,
νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην
βάθρον τόδ' ἀσκέπαρνον. ἀλλά μοι, θεαί,
βίου κατ' ὀμφὰς τὰς Ἀπόλλωνος δότε
πέρασιν ἤδη καὶ καταστροφήν τινα,
εἰ μὴ δοκῶ τι μειόνως ἔχειν ἀεὶ
μόχθους λατρεύων τοὺς ὑπερτάτους βροτῶν.
ἴτ', ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,
ἴτ', ὦ μεγίστης Παλλάδος καλουμέναι
πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,
οἰκτείρατ' ἀνδρὸς Οἰδίπου τόδ' ἄθλιον
εἴδωλον· οὐ γ 'ρ δὴ τό γ' ἀρχαῖον δέμας.
ΑΝ. σίγα. πορεύονται γὰρ οἵδε δή τινες
χρόνῳ παλαιοὶ σῆς ἕδρας ἐπίσκοποι.
ΟΙ. σιγήσομαί τε καὶ σύ μ' ἐξ ὁδοῦ τόδε
κρύψον κατ' ἄλσος, τῶνδ' ἕως ἂν ἐκμάθω
τίνας λόγους ἐροῦσιν· ἐν γὰρ τῷ μαθεῖν
ἔνεστιν ηὐλάβεια τῶν ποιουμένων.

96. *μὲν νῦν* mss. 98. *εἰς* mss. *ἐς* Dind.

99. *ὑμῶν* mss. *ὑμῖν* schol. et Suidae (s. v. *νηφάλιος θυσία*) libri deteriores.

105. *μόχθοις λατρεύων τοῖς ὑπερτάτοις* mss. Dedi *μόχθους λατρεύων τοὺς ὑπερτάτους*. Sic Eur. Ion. 128. *καλόν γε τὸν πόνον — σοι λατρεύω*. Sed cf. Tr. 35. *λατρεύοντά τῳ*. Eur. Ion. 152. *Φοίβῳ λατρεύων*. 129. Cycl. 24. *ᾧ λατρεύομεν*.

107. *καλούμεναι* mss. Praestat, opinor, *καλουμένη* (*πόλις*).

110. *τόδ'* mss. Lege *τό γ'*. Cf. 265. *οὐ γὰρ δὴ τό γε | σῶμ' οὐδὲ τἄργα τἀμά*. et ad O. R. 576. Ant. 659.

113. *ἐξ ὁδοῦ πόδα* mss. *ἐκποδὼν ὁδοῦ* Keck. *ἐξ ὁδοῦ τόδε* Martin. Recte. Cf. 98. *ἐξήγαγ' ἐς τόδ' ἄλσος*. 505. *τοὐκεῖθεν ἄλσους — τοῦδε*. Fort. *ἐντεῦθεν* (gl. *ἐξ ὁδοῦ*).

114. *κρύψον*] *τρέψον* Karsten ad Agam. 1216.

115. *ἐν γὰρ τῷ μαθεῖν* mss. *ἐν δὲ τῷ* (aut *ἐν τῷ γὰρ*) *μαθεῖν* Elmsl. *ὡς ἐν τῷ μαθεῖν* conj. Nauck. Nulla mutatione opus est. Cf. ad 664. El. 376. 409. *μαθεῖν* mss. *λαθεῖν* Bl.

ΧΟΡΟΣ.

στρ. α΄.

ὅρα· τίς ἄρ' ἦν; ποῦ κυρεῖ;
ποῖ κυρεῖ ἐκτόπιος συθεὶς ὁ πάντων
ὁ πάντων ἀσεβέστατος;
προσπεύθου, λεῦσσέ νιν,
προσδέρκου πανταχῇ.
πλανάτας πλανάτας τις ὁ πρέσβυς οὐδ'
ἔγχωρος· προσέβα γὰρ οὐκ
ἄν ποτ' ἀστιβὲς ἄλσος ἐς
τοῦτ' ἀμαιμακετᾶν κορᾶν,
ἃς τρέμομεν λέγειν
καὶ παραμειβόμεσθ' ἀδέρκτως,
ἀφώνως, ἀλόγως τὸ τᾶς
εὐφάμου στόμα φροντίδος
ἱέντες. τὰ δὲ νῦν τιν' ἥκειν
λόγος οὐδὲν ὀκνοῦνθ',

117. *ναίει* mss. *κυρεῖ* conj. Nauck. Recte, opinor. Cf. v. ant. 149.

119. *ποῦ* mss. Lege *ποῖ*.

120. *ἀκορέστατος* mss. Lege *ἀσεβέστατος*.

121 sq. *λεύσσατ'* (*λεύσσετ'* B. T. al. *λεύσατ'* K. L.) *αὐτὸν, προσδέρκου, προσπεύθου* (*προσφθέγγου* al.) *πανταχῇ* mss. *προσπεύθου, λεῦσσέ νιν, προσδέρκου πανταχῇ* Herm. Dind. Mein. Nauck. Weckl. *προσδέρκου, λεῦσσε δὴ, προσπεύθου* Jebb. *προσδέρκου, λεῦσσέ νιν, προσπεύθου πανταχῇ* conj. Nauck. Cf. ad v. ant. 153.

121. *προσπεύθου* B. K. L. *προσφθέγγου* A. Suspectum. Tantum hic legitur compositum *προσπεύθεσθαι*.

125. *ἐγχώριος* mss. *ἔγχωρος* Both.

127. *τάνδ'* mss. *τᾶνδ'* Herm. Mein. Lege *τοῦτ'*. *ἀμαιμακέταν* mss. *ἀμαιμακετᾶν* Herm. al.

131. *τὸ τᾶς* mss. Suspectum. Qu. *τε τᾶς*, aut *τὸ πᾶν* (omnino).

132. *εὐφήμου* mss. *εὐφάμου* Doederlein. Dind. *στόμα*] I. q. *γλῶσσαν*, sermonem.

133. *ἱέντες*] Cf. Solon. 36, 9. *γλῶσσαν οὐκέτ' Ἀττικὴν | ἱέντες*. Qu. *κλῄοντες* (coll. Arist. Eq. 1316. *εὐφημεῖν χρὴ καὶ στόμα κλείειν*), aut *τηροῦντες*.

134. *οὐδὲν ἄζονθ'* mss. *οὐδὲν ἄγονθ'* Tricl. *οὐδὲν ὀκνοῦνθ'* aut

ὃν ἐγὼ λεύσσων τέμενος περὶ πᾶν
οὔπω δύναμαι
γνῶναι ποῦ μοί ποτε ναίει.

συστ. ά.

ΟΙ. ὅδ' ἐκεῖνος ἐγώ· φωνῇ γὰρ ὁρῶ,
τὸ φατιζόμενον.
ΧΟ. ἰὼ ἰώ,
δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν.
ΟΙ. μή μ', ἱκετεύω, νομίσητ' ἄνομον.
ΧΟ. Ζεῦ ἀλεξῆτορ, τίς ποθ' ὁ πρέσβυς;
ΟΙ. οὐ πάνυ μοίρας εὐδαιμονίσαι
πρώτης, ὦ τῆσδ' ἔφοροι χώρας.
δηλῶ δ'· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις
ὄμμασιν εἷρπον
κἀπὶ σμικρᾶς μέγας ὥρμουν.

ἀντ. ά.

ΧΟ. ἐή, ἀλαῶν ὀμμάτων.
ἆρα καὶ ἦσθα φυτάλμιος; δυσαίων
μακραίων θ', ὅσ' ἐπεικάσαι.

οὐκ ἀλέγονθ' Bl. Cf. Hom. Od. 19, 145. κύνες οὐκ ἀλέγουσα. Aesch. Suppl. 751. βωμῶν ἀλέγοντες οὐδέν.

135. λεύσσων B. T. λεύσων L. περὶ πᾶν οὔπω δύναμαι τέμενος mss. τέμενος περὶ πᾶν | οὔπω δύναμαι Herw.

138. ἐκεῖνος aliquot mss. ἐκεῖνος ὁρᾶν L. ἐκεῖνος ὁρᾶν ἐγώ al.

142. προσίδητ' ἄνομον mss. Lege νομίσητ' ἄνομον.

143. ἀλεξήτωρ B. K. L. ἀλεξῆτορ A. Recte.

146. δηλῶ A. K. L. δῆλον B. T. Cf. 1145. δείκνυμι δ'· ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην | οὐδέν σε.

148. σμικροῖς mss. Lege σμικρᾶς (sc. ἀγκύρας). Cf. 746. κἀπὶ προσπόλου μιᾶς | βιοστερῆ χωροῦντα. Dem. p. 319, 18. οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ.

149. ἒ ἒ B. L. αἶ αἶ K. ἐή Dind. Jebb. ἒ ἒ doloris exclamatio est El. 827. 840. Tr. 1005. 1016. 1081. Delendum fortasse colon post ὀμμάτων quod auctore Coraë vulgo ponitur.

152. τέ θ' mss. θ' unus Vat. Bergk. Mein. γ' Herm. Dind. ὡς mss. ὅσ' Both. (Cf. Thuc. 6, 25. ὅσα — ἤδη δοκεῖν αὐτῷ). Cf. 16. ὡς ἐπεικάσαι. Tr. 1220. Ἰόλην ἔλεξας ὥς γ' ἐπεικάζειν ἐμέ. 141. ὡς ἐπεικάσαι.

ἀλλ' οὐ μὰν ἔν γ' ἐμοὶ
προσθήσει τάσδ' ἀράς.
πέραν γὰρ περᾷς· ἀλλ' ἵνα τῷδ' ἐν ἀ-
φθέγκτῳ μὴ προπέσῃς νάπει
ποιάεντι, κάθυδρος οὗ
κρατὴρ μειλιχίων ποτῶν
ῥεύματι συντρέχει,
τό, ξένε δύσμορ', εὖ φύλαξαι.
μετάσταθ', ἀπόβαθι, πολ-
λὰ κέλευθος ἐρυκέτω·
κλύεις, ὦ πολύμοχθ' ἀλᾶτα;
λόγον εἴ τιν' ἔχεις
πρὸς ἐμὰν λέσχαν, ἀβάτων ἀποβὰς
ἵνα πᾶσι θέμις
φώνει· πρόσθεν δ' ἀπερύκου.

153. *ἔν γ' ἐμοὶ*] Quantum per me licet.

154. *προσθήσεις* (*προθήσεις* B.) mss. *προσθήσει* (ipse tibi infliges) Herw. Jebb. Cf. Thuc. 1, 78. *μὴ — πόνον προσθῆσθε.* Aesch. Pers. 531. Eur. Her. 146. Andr. 394. O. R. 820. *ἐγὼ αὐτὸς αὑτῷ τάσδ' ἀρὰς ὁ προστιθείς.* Fr. 324, 2. *ἣν — αὐτὸς αὑτῷ τὴν βλάβην προσθῇ φέρων.* *τάσδ' ἀράς*] Fort. *τᾶνδ' ἀράς.*

155. *περᾷς γὰρ περᾷς* mss. *πέραν* — Mein. Cf. 885. *πέραν περῶσ'. οἵδε δή.* *ἵνα*] Suspectum. *ἴθι* conj. Nauck.

157. *μὴ προσπέσῃς* mss. *μὴ προπέσῃς* Herm.

158. *κάθυδρος* L. *κάθυγρος* al.

160. *ῥεύματι* mss. *χεύματι* (i. q. *χοῇ*) Mein. Fortasse recte. Cf. ad 471. *συντρέχει*] I. e. commiscetur. Schol. *συγκίρναται.*

161. *τῶν* A. K. L. al. *τῶν* (*ο* sup. *ῶ*) T. *τὸν* B. V. *τὸ* Heath. Doederl. Bl. Jebb. Weckl. *τῷ* Br. Herm. Elmsl. al. Cf. Ph. 142. *τό μοι ἔννεπε.* *πάμμορ'* mss. Lege *δύσμορ'*. Cf. ad O. R. 248.

164. *ἐρατύει* (*ἐρητύει* B. T.) mss. Jebb. *ἐρατύοι* Musgr. Dind. Mein. Weckl. Cf. Eur. Ph. 1066. *ἐρήτυσον τέκνα | δεινῆς ἁμίλλας.* Vox nusquam alibi occurrens in tragoedia. Dedi *ἐρυκέτω* cum Mein. et Herw. Cf. 169. *ἀπερύκου.* Tr. 120. *δόμων ἐρύκει.* Hom. Il. 10, 161. *ὀλίγος δ' ἔτι χῶρος ἐρύκει.* Requiritur imperativus.

166. *ἔχεις* (*οἴσεις* sup. m. rec. L.) mss. *ἴσχεις* Reisig. Dind. *οἴσεις* Elmsl. Herm. Jebb. prob. Mein. Cf. ad v. str. 134. *λόγος οὐδὲν ἅζονθ'* (l. *ὀκνοῦνθ'*, aut *οὐκ ἀλέγονθ'*). Post *λέσχαν* virgulam posui.

168. *ἵνα*] I. e. *ἐκεῖσε ἵνα.* *νόμος* mss. Dedi *θέμις.*

σύστ. β.

ΟΙ. θύγατερ, ποῖ τις φροντίδος ἔλθῃ;
ΑΝ. ὦ πάτερ, ἀστοῖς ἴσα χρὴ μελετᾶν,
εἴκοντας ἃ δεῖ κοὐκ ἀπιθοῦντας.
ΟΙ. πρόσθιγέ νύν μου. · ΑΝ. ψαύω καὶ δή.
ΟΙ. ὦ ξεῖνοι, μὴ δῆτ' ἀδικηθῶ
σοὶ πιστεύσας μεταναστάς.

στρ. β.

ΧΟ. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων,
ὦ γέρον, ἄκοντά τις ἄρῃ.
ΟΙ. προβῶ; ΧΟ. ἔτι βαῖνε πόρσω.
ΟΙ. ἔτι; ΧΟ. προβίβαζε, κούρα,
πόρσω· σὺ γὰρ ἀΐεις.
ΑΝ. ἕπεο τᾷδ', ἕπε' ὧδ' ἀμαυρῷ
κώλῳ, πάτερ, ᾇ σ' ἄγω.
ΟΙ. ⏑ –́ – –
ΑΝ. ⏑́ ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –́
⏑ –́ –́ ⏑ ⏑ – ⏑ –́
ΟΙ. –́ – –́ ⏑ ⏑ – –

170. *ἔλθῃ* A. *ἔλθοι* B. K. L.

172. *κοὐκ ἀκούοντας* mss. *κοὐκ ἄκοντας* Tricl. Mein. *καὶ ἀκούοντας* Musgr. Dind. *κοὐ κατοκνοῦντας* Herm. *κοὐκ ἀπιθοῦντας* Hart. Nauck. Recte.

173. *πρόσθιγε νῦν* L.

174. *ξένοι* B. L. *ξεῖνοι* A. T.

175. *καὶ μεταναστάς* mss. *μεταναστάς* Herm. Recte.

177. *ἄξει* A. K. L. T. *ἀγάγῃ* B. *ἄρῃ* Elmsl. Cf. 263. Aj. 788. *τί μ' — ἐξ ἕδρας ἀνίστατε;* Eur. Iph. T. 1201. *οὐ γάρ ποτ' ἄν νιν ἠράμην βάθρων ἄπο.* Qu. *ἄκοντ' ἀγάγῃ τις*, coll. 879. Eur. Her. 286. *οὐκ ἔμελλες — ἄξειν βίᾳ τούσδ'.* Vulgata soloeca est.

178. *ἔτ' οὖν ἔτι προβῶ* mss. *ἔτ' οὖν* Both. Elmsl. Nauck. Jebb. *προβῶ* Herm. Dind. *ἐπίβαινε* mss. *ἔτι βαῖνε* Reisk. Cf. ad 1777.

179. *πρόσω* mss. *πόρσω* Both. Dind. Cf. 226. Tr. 195.

182. *ἕσπεο μ' ἂν ἕσπε* (sed in marg. *ἕπεο μοι*) L. *ἕπεο μὰν* mss. Dedi *ἕπεο τᾷδ'*. Cf. 1547. *τᾷδ', ὧδε, τᾷδε βᾶτε.*

183. Post h. v. quattuor versuum defectum indicavit versuique 184. *ΧΟ.* praefixit Herm.

ΧΟ. τόλμα ξεῖνος ἐπὶ ξένης,
ὦ τλάμων, ὅ τι καὶ πόλις
τέτροφεν ἄφιλον ἀποστυγεῖν
χὤ τι φίλον σέβεσθαι.

σύστ. γ'.

ΟΙ. ἄγε νυν σύ με, παῖ,
ἵν' ἂν εὐσεβίας ἐπιβαίνοντες
τὸ μὲν εἴποιμεν, τὸ δ' ἀκούσαιμεν·
καὶ μὴ χρείᾳ πολεμῶμεν.

ἀντ. β.

ΧΟ. αὐτοῦ· μηκέτι τοῦδ' αὐτοπέτρου
βήματος ἔξω πόδα κίνει.
ΟΙ. οὕτως; ΧΟ. ἅλις ἔσθ' ἵν' ἥκεις.
ΟΙ. ἦ 'σθῶ; ΧΟ. λέχριός γ' ἐπ' ἄκρου

184. *ΧΟ.* deest in mss. addidit Herm. *ξείνης* mss. *ξένης* Both.

185. *τλᾶμον* mss. *τλάμων* Both. *καὶ πόλις*] Qu. *ἁ πόλις*.

186. *τέτροφεν*] Fort. *νενόμικ'*. Sed cf. Aj. 1124. Ant. 660. 1089. Tr. 817. 187. *καὶ τὸ φίλον* mss. Leg. *χὤ τι φίλον*.

188. *νῦν* L.

189. *ἵν' ἂν — εἴποιμεν*] Cf. 405. *μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς*.

192. *ἀντιπέτρου* mss. *αὐτοπέτρου* Jacobs. Musgr. Cf. *αὐτόξυλος, αὐτόφλοιος, αὐτόποιος, αὐτόκομος, αὐτόμορφος*, etc. et ad Ph. 35.

193. *κλίνης* (*κλίνῃς*, acc. sup. *ι* m. rec. L.) mss. *γρ. κινήσῃς* in L. *κίνει* suadet Mein. Recte, opinor: inaudita enim est locutio *πόδα κλίνειν*. Cf. Eur. Bacch. 764. *ἐκίνησαν πόδα*. Ion, 163. *πόδα κινήσεις*. Sic *κινεῖν ὄμμα* Ph. 866. *κάρα* Fr. 22, 3. *χέρας* Eur. Hec. 1166. *δέμας* Or. 166. Bacch. 689. Herc. 837. Qu. *νείμῃς*.

194. *ΟΙ.*] *ΑΝ.* L. *ἅλις ὡς ἀκούεις* mss. Qu. *ἅλις ἔσθ' ἵν' ἥκεις*, aut *ἅλις ἔνθα βαίνεις*, aut *ἅλις ἐνθάδ' ἥκεις*. Cf. O. R. 1515. *ἅλις ἵν' ἐξήκεις δακρύων*.

195. *ἡσθῶ* (gl. *ἆρα καθεσθῶ;*) A. *ἡσθῶ* B. et (sup. *στ*) T. *η στῶ* aut *ηστῶ* K. *ἦ στῶ* Bergk. Buttm. Dindorfius ad *κλιθῶ* inclinat. *ἦ σθῶ* L. pr. *ἡσθῶ* corr. (*γρ. ἡστῶ, ὃ καὶ βέλτιον* S.) *ἑστῶ* Nauck. *ἦ στῶ* schol. prob. Jebb, coll. Eur. Hec. 1079. *πᾶ βῶ, πᾶ στῶ, — ;* *κλιθῶ* conj. Dind. Valde probabilis correctio. Aoristi forma *ἥσθην* (ab *ἕζομαι*) Atticis scriptoribus ignota est. Veram lectionem esse *ἦ ἑσθῶ*, non *ἦ στῶ*, ostendere videtur quod sequitur *ὀκλάσας*. Cf. 26. *ἦ μάθω;* 478. *ἦ — χέω;*

λᾶος βραχὺς ὀκλάσας.
ΑΝ. πάτερ, ἐμὸν τόδ'· ἐν ἁσυχαίᾳ
βάσει βάσιν ἅρμοσαι,
ΟΙ. ἰώ μοί μοι.
ΑΝ. γεραιὸν ἐς χέρα σῶμα σὸν
προκλίνας φιλίαν ἐμάν.
ΟΙ. ὤμοι δύσφόρου ἄτας.
ΧΟ. ὦ τλάμων, ὅτε νῦν χαλᾷς,
αὔδασον, τίς ἔφυς βροτῶν;
τίς ὁ πολύπονος ἄγει; τίν' ἂν
σου πατρίδ' ἐκπυθοίμαν;

ἀνομοιόστροφα.

ΟΙ. ὦ ξένοι,
ἀπόπτολις· ἀλλὰ μὴ —
ΧΟ. τί τόδ' ἀπεννέπεις, γέρον;
ΟΙ. μὴ μή μ' ἀνέρῃ τίς εἰμι,
μηδ' ἐξετάσῃς πέρα ματεύων.
ΧΟ. τί τόδ'; ΟΙ. αἰνὰ φύσις. ΧΟ. αὔδα.
ΟΙ. τέκνον, ὤμοι, τί γεγώνω;

196. *λάου* mss. *λᾶος* Dind. Cf. Hom. Il. 12, 462. *λᾶος ὑπὸ ῥιπῆς*. *βραχὺς*] Fort. *βραχύ* (Angl. a little).

197. *ἡσυχίᾳ* mss. *ἡσυχαίᾳ* Herm. *ἁσυχαίᾳ* Herm. Dind. al.

198. *ἁρμόσαι* mss. *ἅρμοσαι* Elmsl.

200. *γεραιὸν* mss. *γεραὸν* Dind. Fortasse nihil opus. Cf. 238.

202. *δύσφρονος* mss. *δυσφόρου* jure malit Dind. Cf. Aj. 643. *παιδὸς δύσφορον ἄταν*.

203. *ὅτε νῦν χαλᾷς*] Qu. *ὅτ' ἐμοὶ χαλᾷς*. Sed cf. 84. *εὖτε νῦν* —.

204. *αὔδασον*] Anglice speak. Cf. 214. *τίς σ' ἔφυσε* mss. *τίς ἔφυς* v. l. in L.

205. *τίς ὢν* (*γρ. ὁ*) L. *τίς ὢν* cet. *ἄγηι* (ut solet) L. *ἄγει* Br. Qu. *ἆρ' εἶ*. *τίνα* mss. *τίν' ἂν* Vauv.

206. *σοῦ* vulg. *σου* (sic) ad v. praec. relatum L. Recte.

210. *μὴ μὴ μή μ'* mss. *μὴ μὴ δή μ'* Mein. *μὴ μή μ'* Jebb.

211. *πέρα* (*ι* sup. *α*) L.

212. *τόδε; δεινὰ* mss. *τόδ'; αἰνὰ* Wund. Dind. Jebb.

213. *γεγώνω*] K. L. *γεγωνῶ* A. B. Cf. Ph. 238. *γέγωνέ μοι πᾶν τοῦτο*.

ΧΟ. τίνος εἶ σπέρματος, ὦ ξένε, φώνει, πατρόθεν;
ΟΙ. ὤμοι ἐγώ, τί πάθω, τέκνον ἐμόν;
ΑΝ. λέγ', ἐπείπερ ἐπ' ἔσχατα βαίνεις.
ΟΙ. ἀλλ' ἐρῶ· οὐ γὰρ ἔχω κατακρυφάν.
ΧΟ. μακρὰ μέλλεις, ἀλλὰ τάχυνε.
Λαΐου ἴστε τιν' — ΧΟ. ὤ. ΟΙ. ἀπόγονον
ΟΙ. τό τε Λαβδακιδᾶν γένος; ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ἄθλιον Οἰδιπόδαν; ΧΟ. σὺ γὰρ ὅδ' εἶ;
ΟΙ. δέος ἴσχετε μηδὲν ὅσ' αὐδῶ.
ΧΟ. ἰὼ ὢ ὢ δύσμορος, ὢ ὤ.
ΟΙ. θύγατερ, τί ποτ' αὐτίκα κύρσει;
ΧΟ. ἔξω πόρσω βαίνετε χώρας.
ΟΙ. ἃ δ' ὑπέσχεο ποῦ καταθήσεις;
ΧΟ. οὐδενὶ μοιριδία τίσις ἔρχεται
ἂν προπάθῃ τὸ τίνειν· ἀπάτα δ' ἀπά-

215. *ξεῖνε* mss. *ξένε* Tricl. *ὦ ξένε* Heath.

217. *μένεις* mss. *βαίνεις* Tricl. Qu. *προύβας*. Cf. Ant. 853. *προβᾶσ' ἐπ' ἔσχατον θράσους*. Aesch. Pr. 247. Aut *τείνεις*.

218. *οὐ γὰρ ἔχω κατακρυφάν*. Qu. *οὐ γὰρ ἔχω γ' ἀποκρυφάν*.

219. *μέλλετ'* mss. *μέλλετον* Herm. *μέλλομεν* Elmsl. Dedi *μέλλεις*. *ταχύνετε* mss. *τάχυνε* Elmsl.

220. *Λαΐου — τιν'*] Cf. 1167. *τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων*. *τιν' ἀπόγονον* mss. *τιν'* (om. *ἀπόγονον*) Reisig. Nauck. Jebb. *τιν' ὄντ'* Dind. *ΧΟ. ὤ. ΟΙ. ἀπόγονον* — Spengel. Quod recepi. Idem metrum est quod in v. 216. *ὢ ὤ* aut *ὢ ὢ* (L.) mss. *ὤ* Herm. *ἰού* mss. *ἰοὺ ἰού* Herm. Cf. ad 224.

224. *ἰὼ ὢ ὢ ὢ* L. *ὢ ὢ ὢ* K. *ὤ ὤ ὤ* B. *ἰὼ ὦ ὦ ὦ* al. *ἰώ, ὢ ὤ* Br. *ὠὼ ὠώ* Dind.

226. *πρόσω* mss. *πόρσω* Tricl.

227. *ποῖ* A. K. *ποῦ* B. T. corr. Cf. 263. et ad 335.

228. *οὐδενί μοι ῥαιδία* (corr. *οὐδενὶ μοίραι διά*?) L. *οὐδενὶ μοιραδία* B. Lb. *οὐδενὶ μοιριδία* T. In *μοιριδία* consentiunt omnes mss. in Ant. 951.

229. *ὧν* mss. Dind. *ἃν* — Wund. Nauck. Mein. Herw. prob. Dind. *ἃν προπάθῃ ἀποτίνειν* Herw. Qu. *ἃν προπάθῃ* (aut *ἃ πρόπαθ'*) *ἀποτίνειν* aut *ἀντιτίνειν*. Cf. 1203 *εὖ πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν*. Aj. 1086. *καὶ μὴ δοκῶμεν δρῶντες ἃν ἡδώμεθα | οὐκ ἀντιτίσειν αὖθις*.

ταις ἑτέραις ἑτέρα παραβαλλομέ-
να πόνον, οὐ χάριν, ἀντιδίδωσιν ἔ-
χειν. σὺ δὲ, τῶνδ' ἑδράνων πάλιν ἔκτοπος
αὖθις, ἄφορμος ἐμᾶς χθονὸς ἔκθορε,
μή τι πέρα χρέος
ἐμᾷ πόλει προσάψῃς.
ΑΝ. ὦ ξένοι
αἰδόφρονες, ἀλλ', ἐπεὶ
γεραιὸν πατέρα τόνδ' ἐμὸν
οὐκ ἀνέτλατ', ἔργων
ἀκόντων ἀΐοντες αὐδὰν,
ἀλλ' ἐμὲ τὰν μελέαν, ἱκετεύομεν, ὦ ξένοι, οἰκ-
τείραθ', ἃ
πατρὸς ὑπὲρ τοῦ δυσμόρου ἄντομαι,
ἄντομαι οὐκ ἀλαοῖς προσορωμένα
ὄμμα σὸν ὄμμασιν, ὥς τις ἀφ' αἵματος
ὑμετέρου προφανεῖσα, τὸν ἄθλιον
αἰδοῦς κῦρσαι· ἐν ὑμῖν δ' ὡς θεῷ
κείμεθα τλάμονες. ἀλλ' ἴτε, νεύσατε τὰν ἀδόκη-
τον χάριν,

231. ἑτέρα] ἑτέραι L.

233. σὺ δ' ἐκ mss. σὺ δὲ Tricl.

234. αὖθις (sup. τ) K. αὖτις B. L. T. αὐτίκ' T. Halbertsma. Cf. ad 1438. El. 64. Ph. 127. 541. Qu. εὐθύς.

236. 257. Hos versus damnarunt antiqui critici et Cobet. Mein. al.

238. γεραὸν mss. Dedi γεραιόν. Cf. 200. ἂν λυπώμεθα.

239. ἀνέτλατ' mss. Qu. ἀνέχεσθ', coll. El. 1028. Ph. 411.

240. αὐδὰν] Narrationem. Suspectum. Qu. ὀμφάν (rumorem).

243. ὑπὲρ τοῦ μόνου mss. ὕπερ τοὐμοῦ (sine μόνου) Tricl. ὑπὲρ τοὐμοῦ μόνου Herm. ὑπὲρ τοῦδ' ἀθλίου Mekler. ὑπὲρ τοῦ δυσμόρου bene Mein.

244. οὐκα . . λοῖς (α in litura et λοῖς a m. rec.). οὐ καλοῖς B. K. T. al.

245. ὥς τις ἀφ' αἵματος —] Qu. ὡς εἰ —.

246. προφανεῖσα] Suspectum. Sensui conveniret γεγονυῖα. aut πεφυυῖα (Hom. Il. 14, 288.).

247. κύρσαι mss. κῦρσαι T. Herm. ἐν ὑμῖν γὰρ mss. ἐν ὕμμι (?) Bergk. Mein. Nauck. Qu. ἐν ὑμῖν δ' aut ἐν ὑμὶν ὅπως θεῷ.

πρός σ' ὅ τι σοι φίλον οἴκοθεν ἄντομαι,
ἢ τέκνον ἢ λέχος ἢ χρέος ἢ † θεός.
οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν οὐδέν' ἂν
ὅστις ἄν, εἰ θεὸς
ἄγοι, φυγεῖν δύναιτο.

ΧΟ. ἀλλ' ἴσθι, τέκνον Οἰδίπους, σέ τ' ἐξ ἴσου
οἰκτείρομεν καὶ τόνδε συμφορᾶς χάριν·
τὰ δ' ἐκ θεῶν τρέμοντες οὐ σθένοιμεν ἂν
φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων.

ΟΙ. τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς
μάτην ῥεούσης ὠφέλημα γίγνεται,
εἰ τὰς Ἀθήνας φασὶ θεοσεβεστάτας
εἶναι, μόνας δὲ τὸν κακούμενον ξένον
σῴζειν οἵας τε καὶ μόνας ἀρκεῖν θέλειν;
ἐμοὶ δὲ ποῦ ταῦτ' ἐστίν; οἵτινες βάθρων
ἐκ τῶνδέ μ' ἐξάραντες εἶτ' ἐλαύνετε,
ὄνομα μόνον δείσαντες· οὐ γὰρ δὴ τό γε
σῶμ' οὐδὲ τἄργα τἄμ', ἐπεὶ τά γ' ἔργα μου
πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα,
εἴ σοι τὰ μητρὸς καὶ πατρὸς χρείη λέγειν,
ὧν εἵνεκ' ἐκφοβεῖ με· τοῦτ' ἐγὼ καλῶς

250. ἐκ σέθεν mss. οἴκοθεν Elmsl., coll. Ph. 469. πρός τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλές.

251. ἢ λόγος mss. ἢ λέχος Reisk. θεός] Dei domestici dicuntur. Cf. O. R. 16. Eur. Alc. 170. πάντας δὲ βωμοὺς οἳ (l. τοὺς) κατ' Ἀδμήτου δόμους | προσῆλθε. Vitiosum, ni fallor.

252. βροτῶν mss. βροτὸν Tricl. Trium syllabarum defectum post βροτὸν indicavit Herm. Qu. (οὐδαμοῦ, aut οὐδέν' ἄν).

253. ἐκφυγεῖν mss. φυγεῖν Dind., coll. El. 696. Soph. Fr. 351. 779.

256. σθένοιμεν] Qu. θέλοιμεν.

257. πέρα τι τῶν τὰ νῦν εἰρημένων conj. Nauck.

260. τάς τ' A. L. al. τὰς B. T. V. Recte.

262. σῴζειν (sic, ut solet) L. ἔχειν mss. Correxi θέλειν. Alioqui tautologia insulsa foret.

263. κἀμοί γέ που ταῦτ' ἐστὶν mss. Haec inepta sunt. Corrigendum videtur ἐμοὶ δὲ ποῦ ταῦτ' (aut ταῦτ' οὐκ) ἐστὶν, aut ἐμοί γε —.

268. χρεῖ' ἢ mss. χρείη Heath.

269. εἵνεκ' B. οὕνεκ' A. K. L. T.

ἔξοιδα. καίτοι πῶς ἐγὼ κακὸς φύσιν,
ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ', εἰ φρονῶν
ἔπρασσον, οὐδ' ἂν ὣς ἐγιγνόμην κακός;
νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην,
ὑφ' ὧν δ' ἔπασχον εἰδότων ἀπωλλύμην.
ἀνθ' ὧν ἱκνοῦμαι πρὸς θεῶν ὑμᾶς, ξένοι,
ὥσπερ με κἀνεστήσαθ', ὧδε σώσατε,
καὶ μὴ θεοὺς τιμῶντες εἶτ' ἐν οὐδενὸς
μοίρᾳ ποιεῖσθε μηδαμῶς, ἡγεῖσθε δὲ
βλέπειν μὲν αὐτοὺς πρὸς τὸν εὐσεβῆ βροτῶν,
βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς, φυγὴν δέ του
μήπω γενέσθαι φωτὸς ἀνοσίου. τάδ' οὖν
ξυνεὶς σὺ μὴ κάλυπτε τὰς εὐδαίμονας
ἔργοις Ἀθήνας ἀνοσίοις ὑπηρετῶν,
ἀλλ', ὥσπερ ἔλαβες τὸν ἱκέτην ἐχέγγυον,
ῥύου με κἀκφύλασσε μηδέ μου κάρα

271. *μὲν*] Suspectum, quia nulla est responsio. Qu. *τάδ'* aut *εἶτ'*.

272. *ὧδ'* mss. *ὣς* Herw. Quod recepi.

277. *εἶτα τοὺς θεοὺς μοίραις ποιεῖσθε* L. *εἶτ' ἐν οὐδενὸς μοίρᾳ ποιεῖσθε* Burges. (Recte, opinor). Qu. *εἶτά σφ' ἐν μέρει | σμικρῷ —*, aut *εἶτ' ἐν οὐδενὶ* (aut *οὐδενὸς*) | *μέρει —*, aut *εἶτ' αὐτοὺς* (aut *εἶτα θεοὺς*) *λόγου | σμικροῦ —*, aut *εἶτά σφ' οὐδενὸς | λόγου —*, aut *εἶτ' αὐτῶν λόγον | σμικρὸν —*, aut *εἶτ' ἐν οὐδενὶ | λόγῳ —*. Fortasse librarius aliquis *εἶτ' αὐτοὺς λόγου* in *εἶτα τοὺς θεοὺς* corrupit. Cf. Ph. 498. *τοὐμὸν ἐν σμικρῷ μέρει* (*μέρος* mss.) | *ποιούμενοι*. Paus. X. 28. 4. *χρυσὸν καὶ ἄργυρον ἐν οὐδενὸς μέρει ἐποιήσαντο*. Herod. I. 33. *οὔτε λόγου μιν ποιησάμενος οὐδενὸς ἀποπέμπεται*. II. 172. *ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον* (*μιν*). Aelian. apud Suidam, *τὰ θεῖα ἐν μηδεμιᾷ ὥρᾳ* (*μοίρᾳ*?) *τίθεσθαι*. De repetito *θεοὺς* cf. Ph. 992. *θεοὺς προτείνων τοὺς θεοὺς ψευδεῖς τίθης*. Sed glossema, ni fallor, est *τοὺς θεούς*, quod verba *ἐν οὐδενὸς* expulerit, relicto tantum *μοίρᾳ*.

278. *μοίραις* (*ζτ* in marg.) L. *μοίρας* K. *μοῖραν* B. F. *μοίρᾳ* Dind. Fort. *σμικροὺς* aut *μώρους*. Cf. 958. *ἐρημία με — σμικρὸν τίθησι*. Aj. 158.

281. *ἀνοσίου βροτῶν. ξὺν οἷς* mss. *ἀνοσίου. τάδ' οὖν ξυνεὶς* sagaciter Dind. *βροτῶν*] Nauckio suspectum, ut a v. 279. repetitum.

282. *ξὺν οἷς —* mss. *ξύννευε, μὴ κάλυπτε* conj. Nauck.

285. *κἀκφύλασσε*] Qu. *καὶ φύλασσε*.

τὸ δυσπρόσοπτον εἰσορᾶν ἀτιμάσῃς.
ἥκω γὰρ ἱερὸς εὐσεβής τε καὶ φέρων
ὄνησιν ἀστοῖς τοῖσδ'· ὅταν δὲ κύριος
παρῇ τις, ὑμῶν ὅστις ἐστὶν ἡγεμών,
τότ' εἰσακούων πάντ' ἐπιστήσει· τὸ δὲ
μεταξὺ τούτου μηδαμῶς γίγνου κακός.
ΧΟ. ταρβεῖν μέν, ὦ γεραιέ, τἀνθυμήματα
πολλή 'στ' ἀνάγκη τἀπὸ σοῦ· λόγοισι γὰρ
οὐκ ὠνόμασται βραχέσι· τοὺς δὲ τῆσδε γῆς
ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι.
ΟΙ. καὶ ποῦ 'σθ' ὁ κραίνων τῆσδε τῆς χώρας, ξένοι;
ΧΟ. πατρῷον ἄστυ γῆς ἔχει, σκοπὸς δέ νιν
ὃς κἀμὲ δεῦρ' ἔπεμπεν οἴχεται στελῶν.
ΟΙ. ἦ γὰρ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπὴν
ἢ φροντίδ' ἕξειν αὐτὸν ὥστ' ἐλθεῖν πέλας;
ΧΟ. καὶ κάρθ', ὅταν περ τοὔνομ' αἴσθηται τὸ σόν.
ΟΙ. τίς δ' ἔσθ' ὁ κείνῳ τοῦτο τοὔπος ἀγγελῶν;

286. *δυσπρόσοπτον* K. L. *δυσπρόσωπον* A. B. T. *εἰσορῶν* mss. *εἰσορᾶν* Wakef. Recte. Cf. Aesch. Fr. 255. *ὦ θάνατε θάνατε, μή μ' ἀτιμάσῃς μολεῖν.* Eur. Her. 228. *μηδαμῶς ἀτιμάσῃς τοὺς Ἡρακλείους παῖδας εἰς χεῖρας λαβών* (*λαβεῖν* recte Elmsl.).

287. *ἱερὸς* mss. *ἱρὸς* Dind.

288. *ὅτ' ἂν* L., ut solet. *δ' ὁ κύριος* (*υ* in litura, *ρ* ex alia littera factum, *ος* a m. rec. additum in L.) mss. Dind. *δὲ κύριος* Tricl. *κοίρανος* in mente habuisse videtur librarius.

289. *παρῇ τις*] Fort. *παρῇ 'νθάδ'* (sc. *ὁ κύριος*).

290. *τὰ δὲ* — mss. Malim *τὸ δὲ* —.

291. *γίγνου*] *γίνου* B. K. L.

293. *'στ'* K. *γ'* B. T. *τ'* A. Eadem lectionis discrepantia est Tr. 295. El. 309.

294. *ὠνόμασται*] Suspectum. Qu. *ἐκπέφρασται.*

297. *σκοπὸς* mss. *πομπὸς* recte, opinor, Wecklein. Cf. 70. O. R. 289. Ant. 164.

298. *ἔπεμψεν* (*π* sup. *ψ* a pr. m.) L. *ἔπεμπεν* A. K. Dind. Praestat, opinor, *ἔπεμψεν.* 299. *ἦ καὶ* mss. Dedi *ἦ γάρ.*

300. *ἀπόνως τ'* mss. *αὐτὸν ὥστ'* Porson. Nauck. Recte.

301—304. Spurios hos versus habent Hirzel. Nauck.

302. *δ'* om. L. add. A. B. K. al.

ΧΟ. μακρὰ κέλευθος, πολλὰ δ' ἐμπόρων ἔπη
φιλεῖ πλανᾶσθαι, τῶν ἐκεῖνος ἀΐων,
θάρσει, παρέσται. πολὺ γάρ, ὦ γέρον, τὸ σὸν
ὄνομα διήκει πάντας, ὥστε, κεἰ βραδὺς
ἕρπει, κλύων σοῦ δεῦρ' ἀφίξεται ταχύς.
ΟΙ. ἀλλ' εὐμενὴς ἵκοιτο τῇ θ' αὑτοῦ πόλει
ἐμοί τε· τίς γὰρ ἔσθ' ὃς οὐχ αὑτῷ φίλος;
ΑΝ. ὦ Ζεῦ, τί λέξω; ποῖ φρενῶν ἔλθω, πάτερ;
ΟΙ. τί δ' ἔστι, τέκνον Ἀντιγόνη; ΑΝ. γυναῖχ' ὁρῶ
στείχουσαν ἡμῶν ἆσσον, Αἰτναίας ἐπὶ
πώλου βεβῶσαν· κρατὶ δ' ἡλιοστεγὴς
κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει.
τί φημί;
ἆρ' ἔστιν, ἆρ' οὐκ ἔστιν, ἢ γνώμη πλανᾷ;
καὶ φημὶ κἀπόφημι κοὐκ ἔχω τί φῶ.
τάλαινα·
οὐκ ἔστιν ἄλλη· φαιδρὰ γοῦν ἀπ' ὀμμάτων
σαίνει μ' ἀποστίλβουσα· σημαίνει θ' ὅτι

303. μακρὰ mss. μικρὰ Herw. Revera non est longum iter.

307. εὕδει mss. ἕρπει Br. Herm. Wund. Mein. al. Cf. 83. Ph. 1223. ἕρπεις — ταχύς. Ant. 231. Tr. 160. Eur. Ph. 41. Arist. Vesp. 552. Fr. 18. Fort. κυρεῖ. σοῦ L. σου al.

308. εὐτυχὴς mss. Leg. εὐμενής. τῇ θ' αὑτοῦ A. τῇ τ' αὑτοῦ B. K. L. al.

309. ἐσθλὸς mss. ἔσθ' ὃς Nauck. Dind. Mein. Weckl. Cf. Aj. 725. οὔτις ἔσθ' ὃς οὐ —.

313. ἡλιοστερὴς mss. ἡλιοστεγὴς Coraes. Doederl. Mein. Weckl. probat Dind. ἡλιοσκεπὴς Nauck. Nescio an recte. Cf. Hom. Il. 16, 224. χλαινάων τ' ἀνεμοσκεπέων.

315. τί φῶ; mss. τί φημί; Elmsl., coll. O. R. 1471. etc. Qu. τί φάσκω; Baccheus requiritur, ut in 318.

316. ἢ γνώμη πλανᾷ; mss. ἡ γνώμη πλανᾷ (fallit); Spengel.

320. με προστείχουσα mss. με προσστείχουσα Dind. Mein. Sensus requirit potius με προσβλέπουσα, aut μ' ἀποστίλβουσα, aut μ' ἀπαστράπτουσα. Cf. Fr. 433, 2. ὀμμάτων τιν' ἀστραπὴν ἔχει. Aesch. Pr. 356. ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας. Eur. Or. 474. στίλβει νοσώδεις ἀστραπάς. Dedi μ' ἀποστίλβουσα. Cf. Hom. Od. 3, 408. λευκοὶ ἀποστίλβοντες ἀλείφατος (λίθοι). Vide etiam Addenda. σημαίνει δ' mss. Qu. σημαίνει θ', aut σημαίνουσ'.

φίλης τόδ' ἔστ' ἀδελφὸν Ἰσμήνης κάρα.
ΟΙ. πῶς εἶπας, ὦ παῖ; ΑΝ. παῖδα σήν, ἐμὴν δ' ὁρᾶν
ὅμαιμον· αὐδῇ δ' αὐτίκ' ἐξέσται μαθεῖν.

ΙΣΜΗΝΗ.

ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ
ἥδιστα προσφωνήμαθ', ὡς ὑμᾶς μόλις
ευροῦσα λύπῃ δεύτερον μόλις βλέπω.
ΟΙ. ὦ τέκνον, ἥκεις; ΙΣ. ὦ πάτερ δύστην' ὁρᾶν.
ΟΙ. τέκνον, πέφηνας; ΙΣ. οὐκ ἄνευ μόχθου γέ του.
ΟΙ. πρόσψαυσον, ὦ παῖ. ΙΣ. θιγγάνω δυοῖν ὁμοῦ.
ΟΙ. ὦ σπέρμ' ὅμαιμον. ΙΣ. ὦ τρισάθλιαι τροφαί.
ΟΙ. ἦ τῆσδε κἀμοῦ; ΙΣ. δυσμόρου τ' ἐμοῦ τρίτης.
ΟΙ. τέκνον, τί δ' ἦλθες; ΙΣ. σῇ, πάτερ, προμηθίᾳ.
ΟΙ. πότερα ποθοῦσα; ΙΣ. καὶ λόγων γ' αὐτάγγελος
ξὺν ᾧπερ εἶχον οἰκετῶν πιστῷ μόνῳ.
ΟΙ. οἱ δ' αὐθόμαιμοι ποῖ νεανίαι πονεῖν;

321. *μόνης* mss. Vix sanum. Qu. *φίλον* aut *φίλης*. *ἐστὶ δῆλον* mss. *ἔστ' ἀδελφὸν* optime Herwerden. Cf. Ant. 1.

323. *ἔξεστιν* mss. *ἐξέσται* Dobr. Hart. Bl. Dind. Mein.

327—331. Sic disponit Wecklein, 327. 330. 329. 328. 331.

327. *δύσμοιρ'* mss. Suspectum. Lege *δύστην'*. Forma *δύσμοιρος* nusquam alibi apud Sophoclem legitur.

328. Post 330. transponunt Musgr. Hart. Dind.

328. *γέ μοι* (*μου* L. pr., ut vid.) mss. Qu. *γέ του* (Herw.), aut *γ' ἐμοῦ*, aut *γ' ἐγώ*.

330. *ὦ σπέρμ'* —] Post 327 legitur in mss, Huc transposuit Musgr. *ὦ δυσάθλιαι τροφαί* mss. *ὦ δύ' ἀθλίω τροφά* Dind. *ὦ τρὶς ἄθλιαι* (372) aut *ὦ πανάθλιοι* (1110. Ph. 1026.) Herw. *ὦ τρισάθλιαι τροφαί* Herm. Mein. Cf. 372. *τοῖν τρισαθλίοιν*. 365. *τοῖν σοῖν δυσμόροιν παίδοιν*. 331 sq. post 326 transponit Nauck.

331. *δ'* mss. *τ'* Markland.

333. *πόθοισι* mss. Lege *πόθῳ 'μῷ* aut *ποθοῦσα*. Cf. 419. *τοὐμοῦ πόθου*. *λόγων* T. Dind. *λόγοις* A. B. K. et (*λόγων* sup. m. pr.) L. Praeferendum, opinor, foret *λόγοις*, si sincerum est *πόθοισι*. Cf. El. 47. *ἄγγελλε δ' ὅρκῳ προστιθεὶς* —.

335. *ποῖ* mss. *ποῦ* schol. *πονεῖν* mss. *πόνων* ed. Lond. 1722. *τὸ νῦν* Canter. Melius foret *τὰ νῦν*, quod tamen proxime sequitur. Cf. Eur. Or. 1473. *ποῦ δῆτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;* *αὐθόμαιμοι* A. *αὖθ' ὅμαιμοι* B. K. L.

ΙΣ. εἴσ' οὗπέρ εἰσι· δεινὰ τἀν κείνοις τανῦν.
ΟΙ. ὦ πάντ' ἐκείνω τοῖς ἐν Αἰγύπτῳ νόμοις
φύσιν τ' ἀπεικασθέντε καὶ βίου τροφάς·
ἐκεῖ γὰρ οἱ μὲν ἄρσενες κατὰ στέγας
θακοῦσιν ἱστουργοῦντες, αἱ δὲ σύννομοι
τἄξω βίου τροφεῖα πορσύνουσ' ἀεί.
σφῷν δ', ὦ τέκν', οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε
κατ' οἶκον οἰκουροῦσιν ὥστε παρθένοι,
σφὼ δ' ἀντ' ἐκείνων τἀμὰ δυστήνου κακὰ
ὑπερπονεῖτον. ἡ μὲν ἐξ ὅτου νέας
τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας
ἀεὶ μεθ' ἡμῶν δύσμορος πλανωμένη
γεροντανωγεῖ, πολλὰ μὲν κατ' ἀγρίαν
ὕλην ἄσιτος νηλίπους τ' ἀλωμένη,
πολλοῖσι δ' ὄμβροις ἡλίου τε καύμασι
μοχθοῦσα τλήμων δεύτερ' ἡγεῖται τὰ τῆς
οἴκοι διαίτης, ἣν πατὴρ τροφὴν ἔχῃ.
σὺ δ', ὦ τέκνον, πρόσθεν μὲν ἐξικνοῦ πατρὶ
μαντεῖ' ἄγουσα πάντα Καδμείων λάθρα
ἃ τοῦδ' ἐχρήσθη σώματος, φύλαξ τέ μου
πιστὴ κατέστης γῆς ὅτ' ἐξηλαυνόμην·
νῦν δ' αὖ τίν' ἥκεις μῦθον, Ἰσμήνη, πατρὶ
φέρουσα; τίς σ' ἐξῆρεν οἴκοθεν στόλος;
ἥκεις γὰρ οὐ κενή γε, τοῦτ' ἐγὼ σαφῶς

336. δεινὰ δ' ἐκείνοις (ν sup. ἐ ab S.) L. δεινὰ δ' ἐν κείνοις aut δεινὰ τἀκείνοις B. T. δεινὰ τἀν κείνοις Schaefer. ex schol. νῦν δὲ τὰ ἐν ἐκείνοις δεινά ἐστιν. Cf. El. 924. τἀκείνου δέ σοι σωτῆρι' ἔρρει.

337—343. Versus suspecti Meinekio.

338. φύσιν κατεικασθέντε mss. Lege φύσιν τ' ἀπεικασθέντε.

350. καύμασι K. καύμασιν B. L.

352. εἰ — τροφὴν ἔχοι A. εἰ — τροφὴν ἔχει (sup. οι) B. K. L. Qu. εἰ — ἕξει τροφήν.

355. δέ μου mss. τέ μου Elmsl. δέ μοι Jebb.

358. Qu. τίνα δ' ἐξῆρας οἴκοθεν στόλον; coll. Aesch. Ag. 563. εὐσταλῆ καὶ λεκτὸν ἀροῦμεν στόλον;

ἔξοιδα, μὴ οὐχὶ δεῖμ' ἐμοὶ φέρουσά τι.
ΙΣ. ἐγὼ τὰ μὲν παθήμαθ' ἅπαθον, πάτερ,
ζητοῦσα τὴν σὴν ποῦ κατοικοίης τροφὴν
παρεῖσ' ἐάσω· δὶς γὰρ οὐχὶ βούλομαι
πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν·
ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ
νῦν ἐστι, ταῦτα σημανοῦσ' ἐλήλυθα.
πρὶν μὲν γὰρ αὐτοῖν ἤρεσεν Κρέοντι τοὺς
θρόνους ἐᾶσαι μὴ δὲ χραίνεσθαι πόλιν
φόνῳ, σκοποῦσι τὴν πάλαι γένους φθορὰν,
οἵα κατέσχε τὸν σὸν ἄθλιον δόμον·
νῦν δ' ἐκ θεῶν του κἀλιτηρίου φρενὸς

360. *μὴ οὐχὶ — φέρουσά τι*] Corrigendum olim putabam *μὴ οὐχὶ — φέρειν σέ τι* (quin pavorem aliquem mihi afferas). Cf. El. 107. *οὐ λήξω θρήνων — μὴ οὐ — πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν*. 133. Tr. 622. O. R. 1090. *ἀπείρων — οὐκ ἔσει — μὴ οὔ σέ γε — χορεύεσθαι πρὸς ἡμῶν*. Sed nil mutandum. Cf. O. R. 221. *οὐ γὰρ ἂν μακρὰν | ἴχνευον αὐτὸ μὴ οὐκ ἔχων τι σύμβολον*.

362. *ποῦ κατοικοίης τροφήν*] Mire dictum. Melius intelligerem *ποῦ τροφὰς ἔχοις βίου*, aut *ποῦ τὰ νῦν ἔχοις τροφὴν*, aut *ποῦ κυροῖς ἔχων τροφήν*. Cf. 446. *τροφὰς ἔχω βίου*. 338. 352. 1687. *πῶς — βίου — ἕξομεν τροφάν;* Aj. 499. Verbum *κατοικεῖν* legitur Ph. 40. Fr. 188. *τροφήν*] Gl. A. *διαγωγήν*. Gl. T. *δίαιταν*. Versum inutilem interpolatori tribuit Herwerden. Conjecturas meas dedi in meis Adv. crit. Soph.

367. *αὐτοῖς* mss. *αὐτοῖν* recte Mein. Cf. 372. *ἦν ἔρις* mss. Vitiosum. *ἤρεσεν* recte Bergk. *ἦν ἔρως* Tyrwhitt. Herm. Madvig. (Cf. Fr. 219. *θανόντι κείνῳ συνθανεῖν μ' ἔρως ἔχει*.) Cf. El. 409. *τῷ τοῦτ' ἤρεσεν;* O. R. 274. Ant. 75. 89. 211. Aj. 1243. *τε* mss. *τοὺς* jure requirit Dind. Cf. ad Ant. 409.

368. *ἐᾶσθαι* mss. Dedi *ἐᾶσαι*. Idem suadet Naber. *μὴ δὲ* (sic) K.

369. *λόγῳ* mss. *φόνῳ* Bl. Cf. Aj. 43. *δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ*. Ant. 172. *πληγέντες αὐτόχειρι σὺν μιάσματι*. *σκοποῦσι*] Fort. *σκοποῦντε*, ut constructio sit ad rem quae dicitur.

370. *οἵα* mss. Qu. *ἥτις*. *τὸν σὸν ἄθλιον δόμον* mss. *τὸν τρισάθλιον δόμον* Suid. v. *οἷα*. (fort. a. v. 372.) Qu. *σὸν τρισάθλιον δόμον*. Versus fortasse spurius.

371. *κἀξαλιτηροῦ* L. K. *κἀξ ἀλιτηρίου* T. *κἀλιτηρίου* Toup. Elmsl. *κἀξ ἀλαστόρου* Bergk. *κἀξ ἀλιτρίας* Dind. Lege *κἀλιτηρίου φρενός*. Cf. Lycophr. trag. 2, 3. *ὅ τ' ἀλιτήριος — θέρμος*. Dem.

εἰσῆλθε τοῖν τρισαθλίοιν ἔρις κακὴ
ἀρχῆς λαβέσθαι καὶ κράτους τυραννικοῦ.
χὠ μὲν νεάζων καὶ γονῇ μείων γεγὼς
τὸν πρόσθε γεννηθέντα Πολυνείκη θρόνων
ἀποστερίσκει κἀξελήλακεν πάτρας.
ὁ δ', ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος,
τὸ κοῖλον Ἄργος βὰς φυγὰς προσλαμβάνει
κῆδός τε κλεινὸν καὶ ξυνασπιστὰς φίλους,
ὡς αὐτίκ' Ἄργος ἢ τὸ Καδμείων πέδον
ἐς γῆν καθέλξον ἢ πρὸς οὐρανὸν βιβῶν.
ταῦτ' οὐκ ἀριθμός ἐστιν, ὦ πάτερ, λόγων,
ἀλλ' ἔργα δεινά· τοὺς δὲ σοὺς πόνους ὅποι
θεοὶ κατοικτιοῦσιν οὐκ ἔχω μαθεῖν.
ΟΙ. ἤδη γὰρ ἔσχες ἐλπίδας θεοὺς ἐμοῦ

280, 27. *κοινὸν ἀλιτήριον — ἁπάντων*. Aeschin. 76, 7. *ἀλιτήριος Ἑλλάδος*. Lys. 137, 19. Andoc. 17, 11. Alia forma est *ἀλιτρός* (Hom. al.). Cf. vv. *ἀλιτρία* (Fr. 45.), *ἀλιταίνω, ἀλίτημα, ἀλιτημοσύνη, ἀλιτήμων* (Hom.), *ἀλιτηριώδης, ἀλιτόξενος* (Pind.), *ἀλιτοφροσύνη, ἀλιτρόβιος, ἀλιτρόνους, ἀλιτροσύνη*.

372. *τρισαθλίον* mss. Dind. *τρὶς ἀθλίοιν* Porson.

374. *χρόνῳ* mss. Dedi *γονῇ*. Cf. 1294. *γονῇ πεφυκὼς — γεραίτερος*. 1469. 375. *Πολυνείκη* A. *Πολυνείκην* B. K. L. T.

379. *καινὸν* mss. *κλεινὸν* Elmsl. Herw. Recte. "Non opus", ait Dind. 380 sq. Spurios jure habet Dind.

380. *Καδμεῖον* A. *Καδμείων* L. et al. Cf. 736. et ad O. R. 29.

381. *τιμῇ* mss. *αἰχμῇ* Bl. Cobet. Mein. Nauck. Herw. Weckl. Cf. Phil. 1307. *κακοὺς ὄντας πρὸς αἰχμήν*. Corrigendum suspicor *ἐς γῆν*. *καθέξων* L. et al. *καθέξον* A. *καθέλξον* Madvig, coll. Cic. Fin. V. 92. 'terram ea lanx et maria deprimet (*καθέλξει*).' Recte proculdubio. Metaphora abs trutina ejusque lancibus duabus sumpta est, ut monuit Herwerden. Ipse tentabam olim *αἰχμῇ κρατῆσον*.

383. *ὅποι* mss. *ὅπου* Herw. Nescio an recte. *ὅποι — πόνους* mss. Correxi *πόνους — ὅποι*.

385. *ἤδη γὰρ ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὺς ὥραν τιν' ἕξειν* mss. Qu. *ἤδη γὰρ ἔσχες ἐλπίδας θεοὺς ἐμοῦ —*, aut *ἦ γάρ τιν' ἔσχες ἐλπίδ' ὡς ἐμοῦ θεοὶ | ὥραν τιν' ἕξουσ'*. Cf. El. 952. *εἶχον ἐλπίδας αὐτὸν ἵξεσθαι*. Ant. 1246. *ἐλπίσιν δὲ βόσκομαι — οὐκ ἀξιώσειν*. Eur. Her. 453. *ἐλπίδ' εὖ πράξειν ἔχω*. Or. 52. *ἐλπίδα δὲ δὴ τίν' ἔχομεν ὥστε μὴ θανεῖν;*

ὥραν τιν' ἕξειν ὥστε σωθῆναί ποτε;
ΙΣ. ἔγωγε τοῖς νῦν γ', ὦ πάτερ, μαντεύμασι.
ΟΙ. ποίοισι τούτοις; τί δὲ τεθέσπισται νέον;
ΙΣ. σὲ τοῖς ἐκεῖ ζητητὸν ἀνθρώποις ποτὲ
θανόντ' ἔσεσθαι ζῶντά τ' εὐσοίας χάριν.
ΟΙ. τί δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειέ τις;
ΙΣ. ἐν σοὶ τὰ κείνων φασὶ γίγνεσθαι κράτη.
ΟΙ. ὅτ' οὐκέτ' εἰμί, τηνικαῦτ' ἄρ' εἴμ' ἀνήρ;
ΙΣ. νῦν γὰρ θεοί σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.
ΟΙ. ὀρθοῦν γέροντ' οὐ φαῦλον ὃς νέος πέσῃ.
ΙΣ. καὶ μὴν Κρέοντά γ' ἴσθι σοι τούτων χάριν
ἥξοντα βαιοῦ κοὐχὶ μυρίου χρόνου.
ΟΙ. ὅπως τί δράσῃ, θύγατερ; ἑρμήνευέ μοι.
ΙΣ. ὥς σ' ἄγχι γῆς στήσωσι Καδμείας, ὅπως
κρατῶσι μέν σου, γῆς δὲ μὴ 'μβαίνῃς ὅρων.
ΟΙ. ἡ δ' ὠφέλησις τίς θύρασι κειμένου;
ΙΣ. κείνοις ὁ τύμβος δυστυχῶν ὁ σὸς βαρύς.
ΟΙ. κἄνευ θεοῦ τις τοῦτό γ' ἂν γνώμῃ μάθοι.
ΙΣ. τούτου χάριν τοίνυν σε προσθέσθαι πέλας
χώρας θέλουσι μηδ' ἵν' ἂν σαυτοῦ κρατοῖς.
ΟΙ. ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;

386. *ὥραν* mss. *ὥραν* schol.

387. *νῦν γ'* A. L. al. *νῦν* F. T. om. B. *μαντεύμασι* B. *μαντεύμασιν* A. K. L. T. al. 388. *τέκνον* mss. *νέον* Bl. Nauck.

390. *θανόντ'* A. K. L. *θανόντα τ'* B. T. Qu. *νεκρόν τ'*. *εὐνοίας* mss. *εὐσοίας γρ.* in T. schol. Dind. Nauck.

391. *τίς δ' ἂν τοιοῦδ' ἀνδρὸς* — *πράξειεν ἄν;* mss. *τί δ' ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς* (*ὑπ' ἀνδρὸς* T.) *εὖ πράξειέ τις;* Bl.

393. *ἆρ'* vulg. *ἄρ'* L.

395. *γέροντα δ' ὀρθοῦν φλαῦρον* mss. Sensus requirit *ὀρθοῦν γέροντ' οὐ φαῦλον* (non facile est). *φλαῦρον* mss. Lege *φαῦλον*.

400. *μὲν σοῦ* vulg. *μέν σου* L.

401. *θύραισι* mss. *θύρασι* Elmsl.

402. *δυστυχῶν*] Sine idonea causa suspectum Nauckio.

405. *κρατῇς* aut *κρατῆς* mss. *κρατοῖς* Br. Cf. 189.

406. *ἦ καὶ κατασκιῶσι* mss. Suspectum Nauckio. *ἦ καὶ καταστεγῶσι* (aut *κατασκεπῶσι*) Herw. Qu. *ἦ καί μ' ἐπισκιῶσι.* Sed cf. Epigr. Gr. 493. (Kaibel, 1878). *θανόντα* — *γαῖα κατεσκίασεν.*

ΙΣ. ἀλλ' οὐκ ἐᾷ τοὔμφυλον αἷμά σ', ὦ πάτερ.
ΟΙ. οὔ τἄρ' ἐμοῦ γε μὴ κρατήσωσίν ποτε.
ΙΣ. ἔσται ποτ' ἄρα τοῦτο Καδμείοις βάρος.
ΟΙ. ποίας φανείσης, ὦ τέκνον, συναλλαγῆς;
ΙΣ. τῆς σῆς ὑπ' ὀργῆς, σοῖς ὅταν στῶσ' ἐν τάφοις.
ΟΙ. ἃ δ' ἐννέπεις κλύουσα τοῦ λέγεις, τέκνον;
ΙΣ. ἀνδρῶν θεωρῶν Δελφικῆς ἀφ' ἑστίας.
ΟΙ. καὶ ταῦτ' ἐφ' ἡμῖν Φοῖβος εἰρηκὼς κυρεῖ;
ΙΣ. ὥς φασί γ' οἱ μολόντες ἐς Θήβης πέδον.
ΟΙ. παίδων τις οὖν ἤκουσε τῶν ἐμῶν τάδε;
ΙΣ. ἄμφω γ' ὁμοίως. κἀξεπίστασθον καλῶς.
ΟΙ. κᾆθ' οἱ κάκιστοι ταῦτ' ἀκούσαντες πάρος
τοὐμοῦ πόθου προὔθεντο τὴν τυραννίδα;
ΙΣ. ἀλγῶ κλύουσα ταῦτ' ἐγώ, φέρω δ' ὅμως.
ΟΙ. ἀλλ' οἱ θεοί σφιν μήτε τὴν πεπρωμένην
ἔριν κατασβέσειαν ἔν τ' ἐμοὶ τέλος
αὐτοῖν γένοιτο τῆσδε τῆς μάχης πέρι,
ἧς νῦν ἔχονται κἀπαναίρονται δόρυ·
ὡς οὔτ' ἂν ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει
μείνειεν, οὔτ' ἂν οὑξεληλυθὼς πάλιν
ἔλθοι ποτ' αὖθις· οἵ γε τὸν φύσαντ' ἐμὲ

407. *αἷμά σ', ὦ πάτερ*] *αἷμά σου, πάτερ* Herw.

408. *οὐκ ἄρ'* L. K. *οὐκ ἆρ'* B. T. *οὐ τἄρ'* Elmsl. Dedi *οὔ τἄρ'*.

409. *ἆρα* L. K. *ἄρα* B. Qu. *ἔσται* aut *ἴσθι* (scito). Parum hic convenit *ἄρα*.

411. *στῶσιν τάφοις* mss. Lege *στῶσ' ἐν τάφοις*. Cf. Ant. 1215. *παραστάντες τάφῳ*.

415. *ὡς φασὶν* (*ὥς φασιν* K.) mss. Lege *ὡς φασί γ'* *εἰς* mss. *ἐς* Dind. *ἐς Θήβης πέδον*] *ἐς Θήβας πάλιν* Weckl.

417. *γ'* aliquot mss. *θ'* L. aliique.

418. *τῶνδ'* A. K. L. *τούτων* B. Qu. *ταῦτ'*.

420. *κλύουσα* mss. *φέρουσα* Weckl. Fortasse recte. *φέρω* mss. *λέγω* Nauck. Sed cf. 360. *δεῖμ' ἐμοὶ φέρουσά τι*.

421. *σφι* (*σφε* B.) mss. *σφιν* Elmsl. *τὴν πεπρωμένην* aliquot mss. *τῶν πεπραγμένων* (*η* et *η* sup. *ῶ* et *ω* a pr. m. aut S.) L.

422. *ἐν δ'* mss. *ἔν τ'* Elmsl.

423. *αὐτοῖν* A. K. L b. aliique. *αὐτῶν* L.

424. *κἀπαναιροῦνται* mss. *κἀπαναίρονται* Herm.

427. *οἵ γε* mss. Qu. *ὦ γε*. Cf. 430. *αὐτοῖν*.

οὕτως ἀτίμως πατρίδος ἐξωθούμενον
οὐκ ἔσχον οὐδ' ἤμυναν, ἀλλ' ἀνάστατος
αὐτοῖν ἐπέμφθην κἀξεκηρύχθην φυγάς.
εἴποις ἂν ὡς θέλοντι τοῦτ' ἐμοὶ τότε
πόλις τὸ δῶρον εἰκότως κατῄνεσεν.
οὐ δῆτ', ἐπεί τοι τὴν μὲν αὐτίχ' ἡμέραν,
ὁπηνίκ' ἔζει θυμὸς, ἥδιστον δέ μοι
τὸ κατθανεῖν ἦν καὶ τὸ λευσθῆναι πέτροις,
οὐδεὶς ἔρωτ' ἐς τόνδ' ἐφαίνετ' ὠφελῶν·
χρόνῳ δ', ὅτ' ἤδη πᾶς ὁ μόχθος ἦν πέπων
κἀμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι
μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων,
τόθ' ἡνίκ' ἤδη τοῦτο μὲν πόλις βίᾳ
ἤλαυνέ μ' ἐκ γῆς χρόνιον, οἱ δ' ἐπωφελεῖν,
† οἱ τοῦ πατρὸς, τῷ πατρὶ δυνάμενοι τὸ δρᾶν
οὐκ ἠθέλησαν, ἀλλ' ἔπους σμικροῦ χάριν
φυγάς σφιν ἔξω πτωχὸς ἠλώμην ἀεὶ,
κἀκ ταῖνδε δισσαῖν παρθένοιν, ὅσον φύσις
δίδωσιν αὐταῖν, καὶ τροφὰς ἔχω βίου

432. κατήνεσεν B. K. T. κατηίνυσεν (sic) L. κατήνυσεν A. Mein. Cf. 454. 433. αὐτίχ' mss. Qu. οὖσαν.

434. ἥδιστον δ' mss. ἥδιστόν τ' Herm. Mein.

436. ἔρωτος τοῦδ' mss. ἐρῶντα τοῦδ' Herwerden. Lege ἔρωτ' ἐς τόνδ'. Et sic hodie Pepageorg. Jebb. Causa corruptelae obvia est.

440. τὸ τηνίκ' ἤδη B. K. L. τοτηνίκ' ἤδη al. τόθ' ἡνίκ' ἤδη T. Cf. 768. ἡνίκ' ἤδη μεστὸς ἦ θυμούμενος — τότε κτλ. Eur. Hec. 388. εἴθ' ὤφελες τόθ' ἡνίκ' ἔρανον ἐς θεοὺς | πεισθεὶς ἐποίεις ἐν θεοῖς λιπεῖν βίον. Qu. ἐντεῦθεν ἤδη (cf. O. R. 1521.). Sed fortasse post ἤδη nonnulla exciderunt: repetitio enim haec videntur praecedentium verborum χρόνῳ δ', ὅτ' ἤδη —.

441. χρόνιον] Post longum tempus.

442. οἱ τοῦ πατρὸς mss. ἐκ τοῦ πάρος Canter. βιότου τροφὰς Fröhlich. Cf. 446. τροφὰς ἔχω βίου. Qu. βίου 'ς τροφὰς (quum intransitivum sit ἐπωφελεῖν), aut ἄλλων πάρος, aut ἐς τὰς τροφὰς, aut βίου τροφαῖς τὸν πατέρα —.

443. ἀλλ' ἔπους σμικροῦ] ἀλλέπου σμικροῦ L. ἀλλά που — A. K. M. T. ἀλλ' ἐπ' οὐ — B. Correctum ex schol.

445. ἐκ ταῖνδε δ' οὖσαιν παρθένοιν mss. κἀκ ταῖνδε δισσαῖν παρθένοιν recte Pierson. δισσαῖν etiam Porson.

† καὶ γῆς ἄδειαν καὶ † γένους ἐπάρκεσιν·
τὼ δ' ἀντὶ τοῦ φύσαντος εἱλέσθην θρόνους
καὶ σκῆπτρα κραίνειν καὶ τυραννεύειν χθονός.
ἀλλ' οὔ τι μὴ τύχωσι τοῦδε συμμάχου,
οὐδέ σφιν ἀρχῆς τῆσδε Καδμείας ποτὲ
ὄνησις ἥξει, τοῦτ' ἐγᾦδα τῆσδέ τε
μαντεῖ' ἀκούων συννοῶν τε τἄμφ' ἐμοὶ
παλαίφαθ' ἁμοὶ Φοῖβος † ἤνυσέν ποτε.
πρὸς ταῦτα καὶ Κρέοντα πεμπόντων ἐμοὶ
μαστῆρα κεἴ τις ἄλλος ἐν πόλει σθένει.
ἐὰν γὰρ ὑμεῖς, ὦ ξένοι, θέλησθ' ὁμοῦ
προστάτισι ταῖς σεμναῖσι δημούχοις θεαῖς

447. *καὶ γῆς ἄδειαν* mss. Anglice, a free and safe run of the country (i. e. freedom from molestation). Suspectum. *κοίτης τ' ἄδειαν* probabiliter F. W. Schmidt. Qu. *ἄτης τ'* (aut *ψύχους τ'*) *ἄδειαν*. Cf. Aj. 562. *προφῆς ἄοκνον*. *γένους* mss. *τέγους* Madv. Qu. *στέγους*, aut *θέρους* (Ph. 18. *ἐν θέρει*).

449. *σκῆπτρα κραίνειν* mss. Qu. *σκῆπτρα νωμᾶν*. Cf. O. R. 237. *γῆς, ἧς ἐγὼ κράτη τε καὶ θρόνους νέμω* (*ἔχω*?). O. C. 425. *ὃς νῦν σκῆπτρα καὶ θρόνους ἔχει*. Ant. 173. *κράτη δὴ πάντα καὶ θρόνους ἔχω*. Aut *σκῆπτρ' ἀνάσσειν*.

450. *λάχωσι* (*λάχουσι* L. corr.) mss. *τύχωσι* Br. Cf. ad Fr. 256, 2. *γέννας ἀφθίτου θείας λαχόντες* (l. *τυχόντες*, aut *γένναν ἄφθιτον θείαν*).

451. *οὔτε* mss. *οὐδέ* Elmsl. Dind. al. *οὐδὲ — ἥξει*] Qu. *μηδέ — ἔλθῃ*. Cf. ad El. 43.

452. *ἥξει* A. K. *ἕξει* (*ἡ* sup. a m. pr.) L. Qu. *ἔλθῃ*. *τε* B. T. *γε* A. K. L.

453. *τά τ' ἐξ ἐμοῦ* mss. *τε τἀξ ἐμου* Heath. *τε θέσφατα* ingeniose Heims. *τἀπ' ἐμοὶ* Rauchenstein. Lege *τε τἄμφ' ἐμοί*. Cf. 1614.

454. *ἅ μοι* mss. *ἁμοὶ* Heath. *ἤνυσεν*] Cf. Ant. 1178. *ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας*. Mendosum. *ἔχρησεν* conj. Nauck. Qu. *ἄπυσεν, ἔχρησεν, ἔφρασεν*, aut *ἐξέχρη* (Aj. 87.). Cf. Aj. 887. *ἀπύοι* (schol. *εἴποι*). Aesch. Pr. 593. Sept. 144. Pers. 124. Rata fecit reddit Dind.

457. *θέλητέ μου* (*μοι* B.) mss. *θέλησθ' ὁμοῦ* Dind. Jebb. Cf. O. C. 949. *τῇδ' ὁμοῦ ναίειν πόλει*. Aj. 767. Tr. 545. 1225. 1237.

458. *σὺν ταῖσι* A. B. L. corr. T. *πρὸς* — K. L. (sup. *σὺν* ab al. m. ant.). *σὺν ταῖσδε* Cant. *πρὸς ταῖσδε* Mein. *προστάτισι* Dind. *ταῖς σεμναῖσι δημούχοις θεαῖς* mss. Qu. *σεμναῖς τῆσδε δημούχοις χθονός*. Cf. 1087. *γᾶς τᾶσδε δαμούχοις*. 1348. *τῆσδε δημοῦχοι χθονός*.

ἀλκὴν παρασχεῖν, τῇδε μὲν πόλει μέγαν
σωτῆρ' ἀρεῖσθε, τοῖς δὲ γῆς ἐχθροῖς πόνους.
ΧΟ. ἐπάξιος μέν, Οἰδίπους, κατοικτίσαι
αὐτός τε παῖδές θ' αἵδ', ἐπεὶ δὲ τῆσδε γῆς
σωτῆρα σαυτὸν τῷδ' ἐπεμβάλλεις λόγῳ,
παραινέσαι σοι βούλομαι τὰ σύμφορα.
ΟΙ. ὦ φίλταθ', ὡς πᾶν ἂν τελοῦντι προξένει.
ΧΟ. θοῦ νυν καθαρμὸν τῶνδε δαιμόνων, ἐφ' ἃς
τὸ πρῶτον ἵκου καὶ κατέστειψας πέδον.
ΟΙ. τρόποισι ποίοις, ὦ ξένοι; διδάσκετε.
ΧΟ. πρῶτον μὲν ἱρὰς ἐξ ἀειρύτου χοὰς
κρήνης ἐνεγκοῦ δι' ὁσίων χερῶν θιγών.
ΟΙ. ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
ΧΟ. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη,
ὧν κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστεφεῖς.
ΟΙ. θαλλοῖσιν ἢ κρόκαισιν ἢ ποίῳ τρόπῳ;

459. ἀλκὴν ποιεῖσθαι] Suspectum. Dedi ἀλκὴν παρασχεῖν. τῇδε τῇ πόλει vulg. τῇδε μὲν τῇ πόλει L. Lege τῇδε μὲν πόλει.

460. τῆς δ' ἐμῆς aut τοῖς δ' ἐμοῖς mss. τοῖς δὲ γῆς Weckl. τῆς δὲ γῆς Nauck.

461. κατοικτίσαι] Qu. ἐποικτίσαι.

464. σύμφορα A. K. L. ξύμφορα B.

465. ὡς νῦν πᾶν τελοῦντι mss. Lege ὡς πᾶν ἂν τελοῦντι. Cf. O. R. 145. ὡς πᾶν ἐμοῦ δράσοντος —.

466. νυν mss. νυν Elmsl.

467. τὸ πρῶτον ἵκου mss. Qu. πρώτας ἀφίκου (634). Cf. 85. εὖτε νῦν ἕδρας | πρώτων ἐφ' ὑμῶν τῆσδε γυῖ' (γῆς mss.) ἔκαμψ' ἐγώ. 99. οὐ γάρ ἄν ποτε | πρώταισιν ὑμῖν ἀντέκυρσ'. κατέστειψας] κατάστειψον v. l. in schol.

468. Interpunxi sic, τρόποισι — ὦ ξένοι; διδάσκετε. Cf. 480.

469. ἱερὰς mss. ἱρὰς Dind. ἀειρρύτου mss. ἀειρύτου Br. et sic unus Suidae codex.

470. ἐνέγκου mss. ἐνεγκοῦ Elmsl. χειρῶν mss. Correxi χερῶν. Cf. Ant. 916. El. 296.

471. χεῦμ'] Qu. ῥεῦμ'. Cf. ad 160.

473. ἔρεψον (ε sup. ο, i. e. forsan αι) L. K. Qu. ἐρέψαι. Cf. Aesch. Pr. 712. οἷς μὴ πελάζειν. ἀμφιστόμους mss. Lege ἀμφιστεφεῖς. (Hom. Il. 11, 401.).

ΧΟ. οἷος νεώρους εὐπόκου μαλλῷ λαβών.
ΟΙ. εἶεν· τὸ δ' ἔνθεν ποῖ τελευτῆσαί με χρή;
ΧΟ. χοὰς χέασθαι στάντα πρὸς πρώτην ἕω.
ΟΙ. ἦ τοῖσδε κρωσσοῖς οἷς λέγεις χέω τάδε;
ΧΟ. τρισσάς γε πηγάς, τὸν τελευταῖον δ' ὅλον;
ΟΙ. τοῦ τόνδε πληρώσω; δίδασκε καὶ τόδε.
ΧΟ. ὕδατος μελιχροῦ, μὴ δὲ προσφέρειν μέθυ.
ΟΙ. ὅταν δὲ τούτων γῆ μελάμφυλλος τύχῃ;
ΧΟ. τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν
τιθεὶς ἐλάας τάσδ' ἐπεύχεσθαι λιτάς.
ΟΙ. τούτων ἀκοῦσαι βούλομαι· μέγιστα γάρ.
ΧΟ. ὥς σφας καλοῦμεν Εὐμενίδας, ἐξ εὐμενῶν
στέρνων δέχεσθαι τὸν ἱκέτην σωτηρίους

475. νεαρᾶς mss. νεωροῦς Musgr. νεώρους Bl. νεαλοῦς Dind. Qu. νεογνῆς. Sic Fröhlich, οἷος νεώρει νεοπόκου μαλλῷ Cf. El. 901. νεώρη βόστρυχον τετμημένον. Fr. 464. οἷος μαλλός. οἰνεοτόκῳ (sup. οἰοπόκῳ a m. ant.) L. οἰοπόκῳ B. T. νεοτόκῳ al. νεοπόκῳ Canter. Verum videtur εὐπόκου (Angl. fleecy); si sensus esset recens pexae (Angl. recently shorn), scribendum foret εὐπέκτου. Cf. Aesch. Ag. 1416. μήλων (l. νομῶν) φλεόντων εὐπόκοις νομεύμασιν. βαλών A. L. Dind. λαβών B. K. T. V. Fröhlich. Cf. e. g. Arist. Av. 56. σὺ δ' οὖν λίθῳ κόψον λαβών. Ach. 1167.

476. τὸ δ' ἔνθεν] Pro usitatione τὸ δ' ἐνθένδε positum. Cf. Ph. 895. 833. Eur. El. 618. εἶεν· σὺ δὴ τοὐνθένδε βούλευσον, γέρον. Aesch. Ag. 247. τὰ δ' ἔνθεν (l. τἀνθένδε δ') οὔτ' ἐννέπω. ποῖ A. B. K. L. ποῦ V. 478. τάδε A. K. L. τόδε B.

480. πλήσας θῶ; δίδασκε mss. πληρώσω (aut πλήρη θῶ) Mein. πλήσας; ἐκδίδασκε Herw.

481. ὕδατος μελίσσης mss. I. e. μελικράτου. Qu. ὕδατος (aut γάλατος) μελιχροῦ, aut ὕδατος, γάλακτος, aut μελιχροῦ γάλακτος. Cf. Eur. Or. 115. ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον | μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην. Soph. El. 895. πηγὰς γάλακτος. Teleclid. II. 368. μελιχρὸν οἶνον. μελίσσης pro μέλιτος posuisse Sophoclem incredibile est. Porro scribendum μὴ δὲ (sic) —.

482. τούτων — τύχῃ] Qu. τοῦτο — πίῃ. μελάμφυλλος] Suspectum. Epithetum parum hic idoneum.

484. ἐλαίας mss. ἐλάας Dind.

487. σωτήριον mss. σωτηρίους Lud. Dind. Recte. Causa corruptelae patet.

αἰτοῦ σύ τ' αὐτὸς κεἴ τις ἄλλος ἀντὶ σοῦ,
ἄπυστα φωνῶν μηδὲ μηκύνων βοήν.
ἔπειτ' ἀφέρπειν ἄστροφος. καὶ ταῦτά σοι
δράσαντι θαρσῶν ἂν παρασταίην ἐγώ,
ἄλλως δὲ δειμαίνοιμ' ἄν, ὦ ξέν', ἀμφί σοι.
ΟΙ. ὦ παῖδε, κλύετον τῶνδε προσχώρων ξένων;
ΑΝ. ἠκούσαμέν τε χὤ τι δεῖ πρόστασσε δρᾶν.
ΟΙ. ἐμοὶ μὲν οὐχ ὁδευτά· λείπομαι γὰρ οὖν
τῷ μὴ δύνασθαι μήδ' ὁρᾶν, δυοῖν κακοῖν·
σφῷν δ' ἁτέρα μολοῦσα πραξάτω τάδε·
ἀρκεῖν γὰρ οἶμαι κἀντὶ μυρίων μίαν
ψυχὴν τάδ' ἐκτελοῦσαν, ἢν εὔνους παρῇ.
ἀλλ' ἐν τάχει τι πράσσετον, μόνον δ' ἐμὲ
μὴ λείπετ'· οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας
ἔρημον ἕρπειν ὧδ' ὑφηγητοῦ δίχα.
ΙΣ. ἀλλ' εἶμ' ἐγὼ τελοῦσα· τὸν τόπον δ' ἵνα
χρὴ στέμμ' ἐφευρεῖν, τοῦτο βούλομαι μαθεῖν.

488. *σύ γ'* mss. *σύ τ'* Reisk.

491. *θαρρῶν* mss. *θαρσῶν* Br.

494. *ΑΝ. καὶ ΙΣ.* praef. in A.

495. *ὁδωτά* mss. Lege *ὁδευτά* *Ὁδεύειν* legitur Hom. Il. 11, 569. etc. *γὰρ ἒν* — mss. *γὰρ οὖν* Both. Elmsl. Cf. Ant. 771. *εὖ γὰρ οὖν λέγεις.*

496. *τῷ μὴ δύνασθαι* mss. *τῷ μήτε σωκεῖν* corrigunt Dind. Jebb *μὴ δύνασθαι* absoluto sensu (Anglice by being infirm) accipit coll. Lys. Or. 24. § 3. (*ὑπὲρ τοῦ ἀδυνάτου*). et § 12. *ὡς εἰμὶ τῶν δυναμένων.* Xen. An. IV. 5. 12. *τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων.* Fortasse recte. Sed subaudiendum forsan *ὁδεύεσθαι* ex *ὁδευτά*. Nisi post *δύνασθαι* exciderunt fortasse nonnulla (*μήθ' ὑφηγητοῦ δίχα | μόνος βαδίζειν μήθ' ὁρᾶν*), aut similia. *μήθ'*] Lege *μήδ'* *δυοῖν κακοῖν*] Qu. *διγποῦν κακόν.* 497. *ἡτέρα* mss. *ἁτέρα* Elmsl.

499. *ἐκτείνουσιν* mss. *ἐκτίνουσιν* Canter. *ἐκτελοῦσαν* Reisig. Cf. 503. Qu. *διακονοῦσαν,* aut *ἃ δεῖ πονοῦσαν* (aut *ποιοῦσαν*).

500. *τι* K. L. T. om. B. *τῳ* Schn. *δέ με* mss. Malim *δ' ἐμέ.*

502. *δ' ἄνευ* A. B. K. L. *γ' ἄνευ* T. V. Bergk. *δίχα* Herm. *ὑφηγητῶν ἄνευ* Herw. Cf. 723. *ὅσσον ἔρχεται Κρέων* — *ἄνευ πομπῶν.* Aesch. Suppl. 239. *νόσφιν ἡγητῶν.*

504. *χρή 'σταί* K. *χρησταί* B. *χρῆ "σται* A. *χρῆσται* Bl. *χρὴ*

ΧΟ. τοὐκεῖϑεν ἄλσους, ὦ ξένη, τοῦδ'· ἢν δέ του
σπάνιν τιν' ἴσχῃς, ἔστ' ἔποικος, ὃς φράσει.
ΙΣ. χωροῖμ' ἂν ἐς τόδ'· Ἀντιγόνη, σὺ δ' ἐνϑάδε
φύλασσε πατέρα τόνδε· τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

στρ. ά.

ΧΟ. δεινον μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν, ὦ ξεῖν', ἐπεγείρειν,
ὅμως δ' ἔραμαι πυϑέσϑαι —
ΟΙ. τί τοῦτο;
ΧΟ. τᾶς δειλαίας ἀπόρου φανείσας
ἀλγηδόνος ᾇ ξυνέστας.
ΟΙ. μὴ πρὸς ξενίας ἀνείπῃς
τᾶς σᾶς ἃ πέπονϑ' ἄναυδα.
ΧΟ. τό τοι πολὺ καὶ μηδαμὰ λῆγον

'σται Dind. Pal. χρῆσται Mein. χρήσει (?) Fröhlich. Jebb. χρὴ στέμμ' sagaciter Elmsl. Qu. τὸν τόπον δ' ἵν' ὢν | δεῖ χρή μ' ἐφευρεῖν.

505. ἄλσους — τοῦδ' mss. ἄλσος — τόδ' Elmsl.

507. ἐς τόδ'] Qu. αὐτίκ' aut εὐϑύς.

509. εἰ πονεῖ A. B. T. εἰ πονῇ (sic) L. εἰ πονῇ K. Lege ἢν πονῇ.

510. ἤδη κακόν (post κείμενον) excludit Nauck.

513. Qu. τὰς δειλαίας ἀπόρους φανείσας ἀλγηδόνας αἷς ξυνέστας. Non enim video cur genitivum posuerit poeta.

514. ᾇ ξυνέστας mss. Corrigendum suspicor ᾇ ξυνοικεῖς. Cf. Ph. 1168. μυρίον ἄχϑος ᾧ ξυνοικεῖς.

515. ἀνοίξῃς mss. Sed vix recte dicitur ἀνοίγειν ἔργα sensu detegendi. Vix dubitari potest quin corrigendum sit ἀνείπῃς.

516. τᾶς σᾶς πέπονϑ' mss. Suspectant Herm. Nauck. Qu. σᾶς, ὦ πέπον. τᾶς σᾶς (sic T. τὰς σὰς B. K. L.) πέπονϑ' ἔργ' ἀναιδῆ mss. Qu. τᾶς σᾶς ἃ πέπονϑ' ἀναιδῆ. πέπονϑ' mss. ἃ πέπονϑ' Reisig. πέπον Both. Mein. πέπον, quod apud epicos frequens est, in tragoedia hoc uno loco legitur, si quidem vera est haec correctio. ἀναιδῆ] ἄναυδα (i. q. ἀναύδητα, ἄφατα, infanda?) conj. Nauck. Cf. 947. ἐϑρόησας ἄναυδ' ἔργ' 'Ατρειδᾶν. Qu. ἀεικῆ, aut πέπονϑα δεινά. Cf. Aesch. Pr. 470. πέπονϑας αἰκὲς πῆμα.

517. μηδαμᾶ mss. μηδαμὰ A. pr. (ut vid.) Br.

χρήζω, ξεῖν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.
ΟΙ. ὤμοι.
ΧΟ. στέρξον, ἱκετεύω.
ΟΙ. φεῦ φεῦ.
ΧΟ. πείθου· κἀγὼ γὰρ ὅσον σὺ προσχρῄζεις.

ἀντ. α',

ΟΙ. ἤνεγκον κακότατ', ὦ ξένοι, ἤνεγκον, ἑκὼν δ' οὔ, θεὸς ἴστω·
αὐθαίρετον οὐδὲν ἦν μοι.
ΧΟ. ἀλλ' ἐς τί;
ΟΙ. κακᾷ μ' εὐνᾶν πόλις οὐδὲν ἴδριν
γάμων ἐνέδησεν ἄτᾳ.
ΧΟ. ἦ ματρόθεν, ὡς ἀκούω,
δυσώνυμα λέκτρ' ἔτλης, ὦ —
ΟΙ. ὤμοι, θάνατός μοι τάδ' ἀκούειν,

518. ξέν' mss. ξεῖν' Reisig. Cf. ad v. ant. 530. Qu. στέρξον, ἱκνοῦμαι (gl. ἱκετεύω), et in v. ant. 532. παῖδε, δύ' ἄτα.

519. ἰώ μοι mss. ὤμοι Herm.

520. πείθου mss. Qu. πιθοῦ. Cf. ad El. 1015. κἀγὼ γὰρ] Sub. πείσομαι.

522. ἤνεγκον] excludit Nauck. ἄκων μὲν mss. ἑκὼν μὲν Both. ἄκων (om. μὲν) Nauck. ἑκὼν δ' οὔ Bl.

523. τούτων δ' αὐθαίρετον οὐδέν mss. καὐθαίρετον οὐδὲν ἦν μοι Heimsoeth. Cf. v. str. 511. ὅμως δ' ἔραμαι πυθέσθαι, qui sanus videtur. 524. ἐς τί; mss. ὡς τί; Weckl.

525. κακᾷ μὲν εὐνᾷ mss. αἰσχρᾶς μ' εὐνᾶς Heims. κακᾶν μ' εὐνᾶν Gleditsch. Qu. κακᾷ μ' ἀμὰ πόλις (i. e. Θῆβαι), aut κακᾷ μ' εὐνᾷ, et mox γάμων (τ'). Cf. Aj. 123. ἄτῃ συγκατέζευκται κακῇ. Ant. 862. ματρῷα λέκτρων ἆται (i. e. γάμοι ἀτηροί. μ' unus L b. μὲν L. et ceteri. ἴδρις mss. ἴδριν Mudge.

526. γάμων] λέκτρων Heims. Qu. γάμων (τ') — ἄτᾳ.

527. μητρόθεν mss. ματρόθεν Elmsl. Suspectum. Qu. ματρώϊον. (deleto ἦ).

528. ἐπλήσω A. K. L. et (sup. σαν) T. ἔπλησαν B. ἐπάσω Nauck. Weckl. Gleditsch. Qu. ἔτλας, ὦ —; aut ἐτόλμας —; aut ἐπλάθης —; aut τέκν' ἔφυσας; (τέκνα etiam Gleditsch.)

529. θάνατος μὲν mss. Dedi θάνατός μοι. Cf. Aj. 215.

ὦ ξεῖν'· αὗται δὲ δύ' ἐξ ἐμοῦ —
ΧΟ. πῶς φῄς;
ΟΙ. παῖδε, δύο δ' ἄτα
ΧΟ. ὦ Ζεῦ.
ΟΙ. ματρὸς κοινᾶς ἀπέβλαστον ὠδῖνος.

στρ. β'.

ΧΟ. αὗται γὰρ ἀπόγονοι τεαί;
ΟΙ. κοιναί γε πατρὸς ἀδελφεαί.
ΧΟ. ἰώ. ΟΙ. ἰὼ δῆτα. ΧΟ. μυρίων γ' ἐπιστροφὰς κακῶν
ἔπαθες. ΟΙ. ἔπαθον ἄλαστ' ἄχη.
ΧΟ. ἔρεξας — ΟΙ. οὐκ ἔρεξα. ΧΟ. τί γάρ; ΟΙ. ἐδεξάμην
δῶρον, ὃ μήποτ' ἐγὼ ταλακάρδιος
ἐκ τᾶσδε πόλεος ὄφελον ἐκδέχεσθαι.

ἀντ. β'.

ΧΟ. δύστανε· τί γάρ; ἔθου φόνον —
ΟΙ. τί τοῦτο; τί δ' ἐθέλεις μαθεῖν;
ΧΟ. πατρός; ΟΙ. παπαῖ, δευτέραν ἔπαισας ἐπὶ νόσῳ νόσον.

530. ἐξ ἐμοῦ (μὲν) Br. Elmsl. ἐξ ἐμοῦ, φεῦ — Reisig. prob. Mein. Cf. v. str. 518.

531. παῖδες mss. παῖδε Elmsl. δύο δ' ἄτα] Qu. δύ' ἀδελφά. ἄτα K. T. ἄται (ut vid.) B. ἄτα (γρ. ἄται) A.

533. ὠδῖνος] ὠδῖνι Reisk. Sed cf. Fr. 846. καὶ γυνὴ φεύγει πικρὰν | ὠδῖνα παίδων.

534. σαί τ' ἄρ' εἰσὶν ἀπόγονοί τε καὶ L. σαί τ' ἄρ' εἴσ' — A. αὖτ' ἄρ' εἰσὶν — B. αὖτ' ἄρ' εἰσὶν — Vat. αὐτὰρ εἰσὶν — alii. σαὶ τἄρ' ἀπόγονοί τ' εἰσὶ καὶ Both. Nauck. αὗται γὰρ ἀπόγονοι τεαί sagaciter Herm. Dind. Cf. Ant. 604. τεὰν — δύνασιν. El. 1091. τεῶν (τῶν mss.) ἐχθρῶν. σαὶ ex glossemate τεαί adscripto venit.

536. κοιναί γε L. κοιναί τε Mein Dind. ἐμαί γε Wecklein. Cf. ad 821.

537. Qu. μυρίων γε συστροφὰς (aut γ' ἐπιστάσεις) κακῶν. Cf. Herod. 7, 9. πλήθεος συστροφήν. ἐπιστροφαὶ] Qu. ἐπιστροφὰς aut ἐπιστροφάν.

538. ἄλαστ' ἔχειν mss. ἄλαστ' ἄχη (aut ἐγώ) Bl. Qu. ἄλαστα δή.

541. ἐπωφέλησα πόλεως ἐξελέσθαι mss. Versus graviter corruptus. Dedi ἐκ τᾶσδε πόλεος (Herm.) ὄφελον ἐκδέχεσθαι.

544. ἔπαισας mss. ἔλεξας Heimsoeth. Fort. ἔμνασας. Cf. Eur. Alc. 878. ἔμνασας ὅ μου φρένας ἥλκωσεν. Sed obstat, ni fallor, metrum.

ΧΟ. ἔκανες — ΟΙ. ἔκανον, ἔχει δέ μοι —
ΧΟ. τί το῀το; ΟΙ. πρὸς δίκας τι. ΧΟ. τί γάρ; ΟΙ. ἐγὼ φράσω.
καὶ γὰρ ἂν οὓς ἐφόνευσ' ἔμ' ἀπώλεσαν·
νόῳ δὲ καθαρὸς, ἄϊδρις ἐς τόδ' ἦλθον.
ΧΟ. καὶ μὴν ἄναξ ὅδ' ἡμὶν Αἰγέως γόνος
Θησεὺς κατ' ὀμφὴν σὴν ἐφ' ἀστάλη πάρα.

ΘΗΣΕΥΣ.

πολλῶν ἀκούων ἔν τε τῷ πάρος χρόνῳ
τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς
ἔγνωκά σ', ὦ παῖ Λαΐου, τανῦν θ' ὁδοῖς
ἐν ταῖσδε λεύσσων μᾶλλον ἐξεπίσταμαι·
σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα

545. *ἔχει δέ μοι — πρὸς δίκας τι* mss. Qu. *ἔστιν δέ μοι —*, aut *ἔχω δ' ἐγὼ —*. Sensus est, but there is something to be said in my case on the score of justice. Cf. El. 1211. *πρὸς δίκης γὰρ οὐ στένεις.* O. R. 1014.

547. *καὶ γὰρ ἄλλους ἐφόνευσα καὶ ἀπώλεσα* mss. *καὶ γὰρ ἂν οὓς ἐφόνευσ' ἔμ' ἀπώλεσαν* Mekler. Jebb. Ingeniosa conjectura et proculdubio vera. Oedipus non modo Laium sed omnes ejus pedissequas interfecit (O. R. 813. *κτείνω δὲ τοὺς ξύμπαντας.* In eandem fere emendationem ipse incideram. Malim tamen *καὶ γὰρ ἂν οὓς ἐφόνευσ' ἀπό μ' ὤλεσαν.* Sic *ἀπό μ' ὀλεῖς* Ph. 917. Cf. Herod. I. 11, 6. *ὥρα ἀναγκαίην ἀληθέως προκειμένην ἢ τὸν δεσπότεα ἀπολλύναι ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυσθαι.* Ipse olim sic corrigebam, *τὸν πατέρ', οἶδ', ἐφόνευσα καὶ ὤλεσα, —*. Notabilis est etiam ingeniosa Fröhlichii conjectura, *καὶ γὰρ ἀμυνόμενός νιν ἀπώλεσα | φονῶντα, καὶ πρὸς ἄϊδρις ἐς τόδ' ἦλθον.* *ἄλλους* mss. *ἁλοὺς* Herm. *ἄνους* Porson. Nauck. (*ἄνους* stultus) legitur Ant. 99. 281. 562. Aj. 763. Fr. 514, 1 D. *ἀπώλεσα* mss. *ὤλεσα* Both.

548. *νόμῳ* mss. *νόῳ* Karsten ad Agam. 1097. Herw. Heims. *γνώμῃ* Spalding. Qu. *ὅμως*, aut *νοῦς δ' ἐστὶ καθαρός.* Aegre desideratur verbum substantivum.

550. *ἀπεστάλη* mss. *ἐφ' ἀστάλη* Dind. Nauck.

553. *τὰ νῦν* L.

554. *ἐν ταῖσδ' ἀκούων* mss. *ἐν ταῖσδε λεύσσων* conj. Nauck. Mein. Herw. Verissima correctio.

555. *σκευή* mss. Tantum hic apud Sophoclem. Qu. *στολή.* Cf. 1597. 1357. Sed Eur. Suppl. 1054. *σκευῇ τῇδε τοῦ χάριν κοσμεῖς δέμας;* Rh. 202. *σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι.*

δηλοῦτον ἡμῖν ὄνϑ' ὃς εἶ, καί σ' οἰκτίσας
ϑέλω 'περέσϑαι, δύσμορ' Οἰδίπους, τίνα
πόλεως ἐπέστης προστροπὴν ἐμοῦ τ' ἔχων,
αὐτός τε χἠ σὴ δύσμορος παραστάτις.
δίδασκε, δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις
λέξας ὁποίας ἐξαφισταίμην ἐγώ·
ὡς οἶδα καὐτὸς ὡς ἐπαιδεύϑην ξένος
ὥσπερ σὺ, χὡς εἷς πλεῖστ' ἀνὴρ ἐπὶ ξένης
† ἤϑλησα κινδυνεύματ' ἐν τὠμῷ κάρᾳ,
ὥστ' οὐ ξένον γ' ἂν οὐδέν' ὄνϑ', ὥσπερ σὺ νῦν,
ὑπεκτραποίμην μὴ οὐ συνεκσώζειν, ἐπεὶ
ἔξοιδ' ἀνὴρ ὢν χὤτι τῆς εἰς αὔριον
οὐδὲν πλέον μοι σοῦ μέτεστιν ἡμέρας.

ΟΙ. Θησεῦ, τὸ σὸν γενναῖον ἐν σμικρῷ λόγῳ
παρῆκεν ὥστε βραχέα δεῖν μέ σοι φράσαι.
σὺ γάρ μ' ὅς εἰμι κἀφ' ὅτου πατρὸς γεγὼς
κἀκ γῆς ὁποίας ἦλϑον εἰρηκὼς κυρεῖς·
ὥστ' ἐστί μοι τὸ λοιπὸν οὐδὲν ἄλλο πλὴν
εἰπεῖν ἃ χρῄζω, χὠ λόγος διοίχεται.

556. *ὄνϑ' ὃς εἶ* mss. Qu. *ὅστις εἶ.* *καί σ' οἰκτίσας* mss. Qu. *κἀποικτίσας*. Cf. 1296. et ad 557.

557. *ϑέλω τι ἐρέσϑαι* L. pr. *ϑέλω σ' ἐρέσϑαι* B. T. V. (Cf. Ph. 576. *μή νύν μ' ἔρῃ τὰ πλείον'*. O. R. 749. 1166. El. 563.) *ϑέλω 'περέσϑαι* Reisig. Compositum *ἐπερέσϑαι* nusquam alibi legitur apud Sophoclem. *Οἰδίπου* mss. *Οἰδίπους* Elmsl. Cf. ad O. R. 405.

562. *ὡς οἶδά γ' αὐτὸς* mss. *ὡς οἶδα καὐτὸς* Doederl. Nauck. et (*ὃς* pro *ὡς*) Dind. Cf. 1149. *ἅ γ' εἴσει καὐτὸς ἐκ ταύταιν ξυνών*. 997.

563. *χὤς τις* mss. *χὡς εἷς* Dobr. Recte. Cf. ad 755. Tr. 460. *χἀτέρας | πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή.*

564. *ἤϑλησα*] Vitiosum. Qu. *ἤντλησα* aut *ἔρριψα*. Cf. Eur. Suppl. 317. *φαῦλον ἀϑλήσας* (f. *ἀντλήσας*) *πόνον*.

565. *ὥστε* mss. *ὥστ' οὐ* — Herm. *γὰρ* L. et plerique mss. *γε* A. pr. *γ' ἂν* Vauv.

567. *ἔξοιδ'*] Qu. *εὖ* (aut *εὖ γ'*) *οἶδ'*. *ἐς αὔριον* mss. *εἰς αὔριον* Dind.

570. *βραχέ' ἐμοὶ δεῖσϑαί σοι λέγειν* mss. *βραχέα μοι* — Br. Lege *βραχέα δεῖν μέ σοι φράσαι.* 572. *καὶ* mss. Lege *κἀκ.*

574. *χ' ὡ* L., ut solet. *διοίχεται* L. *διέρχεται* al.

ΘΗ. τοῦτ' αὐτό νυν δίδασχ', ὅπως ἂν ἐκμάθω.
ΟΙ. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας
σοὶ δῶρον, οὐ σπουδαῖον εἰς ὄψιν, τὰ δὲ
κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλή.
ΘΗ. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων;
ΟΙ. χρόνῳ μάθοις ἄν, οὐχὶ τῷ παρόντι νῦν.
ΘΗ. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται;
ΟΙ. ὅταν θάνω 'γὼ καὶ σύ μου ταφεὺς γένῃ.
ΘΗ. τὰ λοίσθι' αἰτεῖ τοῦ βίου, τὰ δ' ἐν μέσῳ
ἢ λῆστιν ἴσχεις ἢ δι' οὐδενὸς ποιεῖ.
ΟΙ. ἐνταῦθα γάρ μοι κεῖνα συγκομίζεται.
ΘΗ. ἀλλ' ἐν βραχεῖ δὴ τήνδε μ' ἐξαιτεῖ χάριν.
ΟΙ. ὅρα γε μήν· οὐ σμικρὸς, οὔχ, ἀγὼν ὅδε.
ΘΗ. πότερα τὰ τῶν σῶν ἐγγενῶν ἢ 'μοῦ λέγεις;
ΟΙ. κεῖνοι κατελθεῖν κεῖσ' ἀναγκάζουσί με.
ΘΗ. ἀλλ', εἰ θέλουσιν, οὐχὶ σοι φεύγειν καλόν.

575. *αὐτὸ νῦν* mss. *αὐτό νυν* T.

577. *εἰς ὄψιν*] Fort. *εἰσορᾶν*.

580. *που* mss. *πω* Schaef. *νῦν* Bl. Mein. Cf. Tr. 1169. *χρόνῳ τῷ — παρόντι νῦν*. El. 1293.

581. Cf. Aesch. Ag. 278. *ποίου* (l. *πόσου*) *χρόνου δὲ καὶ πεπρόθηται πόλις;* Arist. Av. 920. *ἀπὸ ποίου* (*πόσου* Bentl. al.) *χρόνου;* Ach. 83. et ad Eur. Iph. A. 717.

583. *τὰ λοίσθι'* mss. Dind. *τὰ λοῖσθ' ἄρ'* Doed. Reisig. Elmsl.

584. *δι' οὐδενὸς —*] Qu. *τάχ' οὐδενὸς —*.

587. *οὐνἀγὼν* (sic, *γ* post *οὐν* eraso) L. *οὖν ἀγὼν* K. *οὐκ ἀγὼν* A. Br. *γὰρ* B. T. Scribe *οὔχ, ἀγὼν ὅδε*. *οὐ σμικρὸς οὑπιὼν ἀγών* conj. Nauck.

588. *ἐκγόνων* mss. *ἐγγενῶν* Hart. Nauck. Mein. Weckl. Recte. *ἢ 'μοῦ* mss. *κἀμοῦ* Schneid. Nauck. *ἢ 'μοῦ* pro *ἢ τἀμοῦ* concise positum. Cf. ad El. 1498. Qu. *ἢ τἄμ' ἐρεῖς*.

589. *κομίζειν* mss. *κατελθεῖν* conj. Nauck. Dind. Recte. Cf. 601. *ἀναγκάζουσι* L. *ἀναγκάσουσι* B. T. Herw. Schubert. *ἄναξ, χρῄζουσι* Kayser. Jebb.

590. *ἀλλ'*] Qu. *τόδ'*. *εἰ θέλοιντ'* (*θελόντ'* L.) *ἄν γ'* A. K. L. *εἰ θέλοιντ' ἂν* B. T. *εἰ θέλοιεν* Turn. *οὐ θελόντων* Goebel. Dind. Mein. Qu. *εἰ θέλουσιν,* quam veram lectionem esse ostendere videtur quod sequitur *ὅτ' αὐτὸς ἤθελον*. Cf. 767. *οὐκ ἤθελες θέλοντι προσθεῖναι χάριν*. 827. *εἰ θέλουσα μὴ πορεύσεται.* *φεύγειν*] Detre-

ΟΙ. ἀλλ' οὐδ' ὅτ' αὐτὸς ἤϑελον παρίεσαν.
ΘΗ. ὦ μῶρε, ϑυμὸς ἐν κακοῖς οὐ ξύμφορον.
ΟΙ. ὅταν μάϑῃς μου νουϑέτει, τανῦν δ' ἔα.
ΘΗ. δίδασκ'· ἄνευ γνώμης γὰρ οὔ με χρὴ ψέγειν.
ΟΙ. πέπονϑα, Θησεῦ, δεινὰ πρὸς κακοῖς κακά.
ΘΗ. ἦ τὴν παλαιὰν ξυμφορὰν γένους λέγεις;
ΟΙ. οὐ δῆτ', ἐπεὶ πᾶς τοῦτό γ' Ἑλλήνων ϑροεῖ.
ΘΗ. τί γὰρ σὺ μεῖζον ἢ κατ' ἄνϑρωπον νοσεῖς;
ΟΙ. οὕτως ἔχει μοι· γῆς ἐμῆς ἀπηλάϑην
πρὸς τῶν ἐμαυτοῦ σπερμάτων, ἔστιν δέ μοι
πάλιν κατελϑεῖν μήποϑ' ὡς πατροκτόνῳ.
ΘΗ. πῶς δῆτά σ' ἂν πεμψαίαϑ' ὥστ' οἰκεῖν πόλας;
ΟΙ. τὸ ϑεῖον αὐτοὺς ἐξαναγκάσει στόμα.
ΘΗ. ποῖον πάϑος δείσαντας ἐκ χρηστηρίων;
ΟΙ. ὅτι σφ' ἀνάγκη τῇδε πληγῆναι χϑονί.
ΘΗ. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;
ΟΙ. ὦ φίλτατ' Αἰγέως παῖ, μόνοις οὐ γίγνεται
ϑεοῖσι γῆρας οὐδὲ κατϑανεῖν ποτε,
τὰ δ' ἄλλα συγχεῖ πάνϑ' ὁ παγκρατὴς χρόνος.
φϑίνει μὲν ἰσχὺς γῆς, φϑίνει δὲ σώματος,
ϑνήσκει δὲ πίστις, βλαστάνει δ' ἀπιστία,

ctare, recusare. Cf. O. R. 1010. *εἰ τῶνδε φεύγεις εἵνεκ' εἰς οἴκους μολεῖν.* Fr. 141, 3. *ἐγᾦδ' ὃ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς, —.* et ad Ant. 263. *οὐδὲ* mss. Qu. *οὐχί.*

591. Redde, Sed neque illi, quando ego cupiebam (a Thebis abire), sinebant (me id facere). *ὅτ'*] *ὅσ'* Nauck.

592. *ϑυμὸς δ'* mss. *δ'* om. L² et Stob. Fl. 20, 27. *ϑυμὸς* Herw. Melius aberit particula. Fort. *ϑυμὸς δὴ 'ν κακοῖς —.*

594. *λέγειν* mss. *ψέγειν* Mein. Bergk. Herw. ad O. R. 338.

596. *ἐρεῖς* mss. *λέγεις* conj. Nauck. Fortasse recte.

598. *τὸ μεῖζον* mss. Dedi *σὺ μεῖζον.*

602. *δίχα* mss. *πέλας* aut *μέτα* conj. Reisk.

603. *ἐξαναγκάσει* mss. Elmsl. Dedi *ἐξαναγκάζει.*

608. *ϑεοῖς τὸ γῆρας* L. et (sup. *σι*) K. *ϑεοῖσι τὸ γῆρας* B. T. Qu. *ϑεοῖσι γῆρας.*

610. 611. Spurios hos versus habet Nauck.

610. *φϑίνει μὲν ἰσχὺς γῆς* mss. *φϑίνει μεν ἴς ψυχῆς* Coraes. *φϑίνει μένος ψυχῆς* Heims. 611. *ϑνήισκει* L., ut solet.

καὶ πνεῦμα ταὐτὸν οὔποτ' οὔτ' ἐν ἀνδράσι
φίλοις βέβαιον οὔτε πρὸς πόλιν πόλει.
τοῖς μὲν γὰρ ἤδη, τοῖς δ' ἐν ὑστέρῳ χρόνῳ
τὰ τερπνὰ πικρὰ γίγνεται καὖθις φίλα.
καὶ ταῖσι Θήβαις εἰ τανῦν εὐημερεῖ
καλῶς τὰ πρὸς σέ, μυρίας ὁ μυρίος
χρόνος τεκνοῦται νύκτας ἡμέρας τ' ἴσας,
ἐν αἷς τὰ νῦν ξύμφωνα δεξιώματα
δόρει διασκεδῶσιν ἐκ σμικροῦ λόγου·
ἵν' οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς
ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται,
εἰ Ζεὺς ἔτ' ἔστι χὼ Διὸς Φοῖβος σαφής.
ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη,
ἔα μ' ἐν οἷσιν ἠρξάμην, τὸ σὸν μόνον
πιστὸν φυλάσσων, κοὔποτ' Οἰδίπουν ἐρεῖς
ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων
τῶν ἐνθάδ', εἴπερ μὴ θεοὶ ψεύσουσί με.
ΧΟ. ἄναξ, πάλαι καὶ ταῦτα καὶ τοιαῦτ' ἔπη
γῇ τῇδ' ὅδ' ἀνὴρ ὡς τελῶν ἐφαίνετο.
ΘΗ. τίς δῆτ' ἂν ἀνδρὸς εὐμένειαν ἐκβάλοι
τοιοῦδ', ὅτῳ πρῶτον μὲν ἡ δορύξενος
κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία;
ἔπειτα δ' ἱκέτης δαιμόνων ἀφιγμένος

612. *πνεῦμα*] Fortasse mendosum. *ἀνδράσιν* mss.
613. *βέβηκεν* mss. Suspectum. Qu. *βέβαιον*, aut *ἔπνευσεν*.
614 sq. Hos versus Sophocle indignos habent Nauck. Mein. Weckl.
615. *γίνεται* L.
616. *τὰ νῦν* L.
617. *τε* mss. *τὰ* ed. Lond. 1722. *τὸ* Herm.
618. *ἡμέρας τ' ἰὼν* mss. Dedi *ἡμέρας τ' ἴσας*. Cf. El. 1365. *ἡμέραι τ' ἴσαι*. Thuc. II. 97. *τεσσάρων ἡμερῶν καὶ ἴσων νυκτῶν*.
619. *δεξιάματα* B. K. L. *δεξιώματα* T. Cf. ad Eur. Fr. 324, 1.
620. *δορὶ* mss. *δόρει* Herm.
623. *εἰ Ζεὺς ἔτι Ζεὺς* mss. Qu. *εἰ Ζεὺς ἔτ' ἔστι*. Glossema videtur alterum *Ζεύς*. *χ' ὦ* L.
624. *ἡδὺ* (*ἡδὺς* K.) mss. Suspectum. Qu. *ἔστι*.
629. *πάλαι καὶ*] Qu. *πάλαι δή*.
632. *ὅτου* mss. *ὅτῳ* Suid. Fortasse recte.

γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει.
ἁγὼ σεβισθεὶς οὔποτ' ἐκβαλῶ χάριν
τὴν τοῦδε, χώρᾳ δ' ἔμπολιν κατοικιῶ.
[εἶτ' ἐνθάδ' ἡδὺ τῷ ξένῳ μίμνειν, σέ νιν
τάξω φυλάσσειν, εἶτ' ἐμοῦ στείχειν μέτα,
τόδ' ἡδὺ μᾶλλον, Οἰδίπους, δίδωμί σοι
κρίναντι χρῆσθαι· τῇδε γὰρ ξυνοίσομαι.]

ΟΙ. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ.
ΘΗ. τί δῆτα χρῄζεις; ἦ 'ς δόμους στείχειν ἐμούς;
ΟΙ. εἴ μοι θέμις γ' ἔστ'· ἀλλ' ὁ χῶρός ἐσθ' ὅδε —
ΘΗ. ἐν ᾧ τί πράξεις; οὐ γὰρ ἀντιστήσομαι.
ΟΙ. ἐν ᾧ κρατήσω τῶν ἔμ' ἐκβεβληκότων.
ΘΗ. μέγ' ἂν λέγοις δώρημα τῆς συνουσίας.
ΟΙ. εἰ σοί γ' ἅπερ φῂς ἐμμενεῖ τελεῖν ἐμοί.
ΘΗ. θάρσει τὸ τοῦδέ γ' ἀνδρός· οὔ σε μὴ προδῶ.
ΟΙ. οὔτοι σ' ὑφ' ὅρκου γ' ὡς κακὸν πιστώσομαι.
ΘΗ. οὔκουν πέρα γ' ἂν οὐδὲν ἢ λόγῳ φέροις.
ΟΙ. πῶς οὖν ποιήσεις; ΘΗ. τοῦ μάλιστ' ὄκνος σ' ἔχει;
ΟΙ. ἥξουσιν ἄνδρες — ΘΗ. ἀλλὰ τοῖσδ' ἔσται μέλον.

636. σεβισθεὶς A. L. σεβασθεὶς B. K. T. V.

637. ἔμπαλιν mss. ἔμπολιν Musgr. (Confer ἔγχωρος, ἔνδημος, ἔνοικος, ἔντοπος, ἔγγαιος, ἐγγενής.) ἔμπεδον Herw.

638 sq. εἰ δ' — εἰ δ' —] Lege εἶτ' — εἶτ' —. Cf. O. R. 91.

638—641. Spurios hos versus habet Dind., duos postremos Nauck.

639. εἶτ' L. εἰ δ' al. Cf. O. R. 92. ἑτοῖμος εἰπεῖν εἴτε καὶ στείχειν ἔσω. μέτα τόδ' A. K. μέτα τὸ δ' L. T. Cf. O. R. 407. δεῖ δ' — ὅπως — λύσομεν, τόδε σκοπεῖν.

640 sq. proscribit Nauck.

640. τούτων mss. Dedi μᾶλλον. Οἰδίπους A. B. Οἰδίπου K. L.

643. ἦ K. ἢ A. L. ἐς B. T. V. Lege ἦ 'ς.

644. ἦν mss. Dedi ἔστ'.

647. μέγ' ἂν λέγοις mss. Qu. μέγ' ἐννέπεις, aut μέγα δὴ λέγεις. Tentabam etiam μέγ' ὠφέλημα τῆς συνουσίας λέγεις. ξυνουσίας (sic) B. K.

648. Qu. θάρσει ('ς) τὸ τοῦδέ γ' ἀνδρός. τελοῦντί μοι mss. Dedi τελεῖν ἐμοί.

651. πέρα mss. Qu. πλέον.

653. ἄνδρες mss. Scrib. ἄνδρες.

ΟΙ. ὅρα με λείπων — ΘΗ. μὴ δίδασχ' ἃ χρή με δρᾶν.
ΟΙ. ὀκνοῦντ' ἀνάγκη. ΘΗ. τοὐμὸν οὐκ ὀκνεῖ κέαρ.
ΟΙ. οὐκ οἶσθ' ἀπειλὰς — ΘΗ. οἶδ' ἐγώ σε μή τινα
ἐνθένδ' ἀπάξοντ' ἄνδρα πρὸς βίαν ἐμοῦ.
πολλοὶ δὲ πολλοῖς πολλὰ δὴ μάτην ἔπη
θυμῷ κατηπείλησαν, ἀλλ', ὁ νοῦς ὅταν
αὑτοῦ γένηται, φροῦδα τἀπειλήματα.
κείνῳ δ' ἴσως, κεἰ δείν' ἐπερρώσθη λέγειν
τῆς σῆς ἀγωγῆς, οἶδ' ἐγώ, φανήσεται
μακρὸν τὸ δεῦρο πέλαγος οὐδὲ πλώσιμον.
θαρσεῖν μὲν οὖν ἐγώ σε κἄνευ τῆς ἐμῆς
γνώμης ἐπαινῶ, Φοῖβος εἰ προὔτρεψέ σε·
ὅμως δὲ κἀμοῦ μὴ παρόντος οἶδ' ὅτι
τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς.

654. Qu. *ὅρα, μέλου μου* (aut *σύ*). *με δρᾶν* mss. *μ' δρᾶν* frnstra Spengel. Nauck. Mein. Weckl. prob. Dind. Cf. 1037. *εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.*

655. *ὀκνοῦντ'*] *ὀκνεῖν γ'* Wecklein. Qu. *ὀκνεῖν μ'.*

657. *ἀπάξοντ'*] Qu. *ἀπάξειν.* Utraque tamen constructio proba est.

658. *πολλαὶ δ' ἀπειλαὶ* mss. *πολλοὶ δ' ἀπειλὰς* Toup. *πολλοὶ δὲ δειλοὶ* — Fröhlich. *πολλοὶ δὲ πολλοῖς* probabiliter Schneid. Cf. Aesch. Suppl. 450. *δεῖ κάρτα θύειν — χρηστήρια | θεοῖσι πολλοῖς πολλά.* Qu. *ΟΙ. πολλαὶ δ' ἀπειλαί. ΘΗ. πολλὰ δὴ —.*

661. *κείνοις* L. al. *κείνων* B. Lege *κείνῳ.* *δείν' ἐπερρώσθη λέγειν*] Cf. Thuc. 7, 17. *πολλῷ μᾶλλον ἐπέρρωντο.* Xen. Hell. 3, 4, 18. *ἐπερρώσθη — ἰδών.* Polyb. 1, 24, 1. *ἐπερρῶσθαι πρός τι.* Lys. Or. XIII. 31. *ἔρρωτο — κακόν τι ἐργάζεσθαι.*

663. *πλώσιμον* mss. *πλώϊμον* conj. Herw. *πλεύσιμον* Mein. prob. Dind. Recte se habet *πλώσιμον,* ab antiqna verbi forma *πλώειν.* Qu. *οὐ περάσιμον,* coll. Theocr. 15, 45. *πῶς — τοῦτο περᾶσαι | χρὴ τὸ κακόν;*

664. *ἔγωγε* mss. Leg. *ἐγώ σε.* *κἄνευ τῆς ἐμῆς* mss. *κἂν ἄνευ γ' ἐμῆς* Dobr. *κἂν ἐμῆς ἄνευ* Dind. Qu. *καὶ γνώμης ἄνευ | ἐμῆς.* Cf. 403. *κἄνευ θεοῦ τις τοὐτό γ' ἂν γνώμῃ μάθοι.* 816. *κἄνευ τῶνδε λυπηθεὶς ἔσει.* El. 547. 502. *οὐδ' ὑφημητοῦ δίχα* (*ἕρπειν*). Sed codicum lectio non temere sollicitanda est.

665. *γνώμης*] *ῥώμης* conj. Mein. *λόγχης, αἰχμῆς,* aut *ῥώμης* Herw. *ἐπαινῶ*] Qu. *παραινῶ.* *προύπεμψε* A. B. K. L. *προὔτρεψε* T. Quod recepi.

στρ. α'.

ΧΟ. εὐίππου, ξένε, τᾶσδε χώρας
ἵκου τὰ κράτιστ' ἔπαυλα,
τόνδ' ἀργῆτα Κολωνὸν, ἔνθ'
ἁ λίγεια μινύρεται
θαμίζουσα μάλιστ' ἀηδὼν
χλωραῖς ὑπὸ βάσσαις,
τὸν οἰνῶπα νέμουσα κισσὸν
καὶ τὰν ἄβατον θεοῦ
φυλλάδα μυριόκαρπον ἀνήλιον
ἀνάνεμόν τε πάντων
χειμώνων· ἵν' ὁ βακχιώτας
ἀεὶ Διόνυσος ἐμβατεύει
θεαῖς ἀμφιπολῶν τιθήναις.

ἀντ. ά.

θάλλει δ' οὐρανίας ὑπ' ἄχνας
ὁ καλλίβοτρυς κατ' ἆμαρ

669. Fort. ἵκου 'ς τὰ —. κράτιστα γᾶς mss. κράτιστ' Nauck.

670. τὸν mss. τόνδ' Bl. Weckl. ἀργῆτα] Qu ἀργῆντα (ἀργήεντα). ἔνθα mss. ἔνθ' ἁ Porson.

674. οἴνωπ' ἀνέχουσα mss. οἰνωπὸν ἔχουσα Erf. οἰνῶπα νέμουσα Dind. Nauck. Cf. Arist. Av. 239. ὅσα θ' — ἐπὶ (ὑπὸ?) κισσοῦ κλάδεσι νομὸν ἔχει. Qu. οἰνῶπα ναίουσα (◡ – ◡), coll. Av. 1094. φύλλων ἐν κόλποις ναίω. 615.

675. θεοῦ] Monosyllabum. Cf. ad v. ant. 688.

676. ἀνήλιον mss. ἀνάλιον Tricl.

677. ἀνήνεμον mss. Dedi ἀνάνεμον. Sic εὐάνεμος.

678. ὁ βακχειώτας mss. ὁ βακχιώτας Seidler. Qu. ὁ βάκχιος θεός (mon.). Cf. O. R. 1105. ὁ βακχεῖος (l. βάκχιος) θεός. Nnsquam legitur vox βακχιώτης (a verbo βακχιοῦσθαι formata).

680. θείαις mss. θεαῖς (monosyllabum) Elmsl. θείαις ἀμφιπολῶν Ἀθήναις Margoliouth. Frustra. Qu. θεὰς ἀμφιπολεῖ τιθήνας. Cf. O. R. 220. Εὔιον μαινάδων ὁμόστολον. Ant. 1151. προφάνηθ', ὦναξ, Ναξίαις σαῖς ἅμα περιπόλοις. τιθήναις] Cf. Hom. Il. 6, 132. Διωνύσοιο τιθήνας | σεῦε κατ' ἠγάθεον Νυσήϊον.

682. κατ' ἦμαρ ἀεὶ mss. κατ' ἦμαρ Nauck. Lege κατ' ἆμαρ. Cf. 1079. Ph. 1089. Fr. 536, 2.

νάρκισσος, μεγάλαιν θεαῖν
ἀρχαῖον στεφάνωμ', ὅ τε
χρυσαυγὴς κρόκος· ο'δ' ἄϋπνοι
κρῆναι μινύθουσιν
Κηφισοῦ νομάδες ῥεέθρων,
ἀλλ' αἰὲν ἐπ' ἅμαρ
ὠκυτόκος πεδίων ἐπινίσσεται
ἀκηράτῳ σὺν ὄμβρῳ
στερνούχου χθονός· οὐδὲ Μουσᾶν
χοροί νιν ἀπεστύγησαν, οὐδ' ἁ
χρυσάνιος Ἀφροδίτα.

στρ. β'.

ἔστιν δ' οἷον ἐγὼ γᾶς Ἀσίας οὐκ ὂν ἀκούω 694
οἰδ' ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ Πέλοπος πώποτε βλαστὸν
φίτυμ' ἀχείριστον αὐτόποιον,

686. μινύθουσι B. K. μινύθουσιν L. T.

687. Κηφισοῦ A. K. L. Κηφισσοῦ B. T. V. Sic Ἰλισσὸς, Τελμησσὸς, Ὑμηττὸς, etc.

688. ἐπ' ἤματι mss. Lege ἐπ' ἅμαρ. ἐπ' ἤματι (uno die) legitur Hom. Il. 10, 48. Cf. Fr. 234, 3. Cf. ad v. str. 675.

689. ἐπινίσσεται B. T. ἐπινίσεται L. et (sup. alt. σ) L. ἐπινείσεται al. Cf. ad Eur. Ph. 1249.

690. σὺν K. L. ξὺν B. vulg.

691. στερνούχου mss. σπερμούχου conj. Herm. et Mein. Fortasse recte. V. Polemon. apud Athen. X. 416 B., ubi Cereris σπερμούχου (ἑρμ. vulgo) memoratur.

692. οὐδ' ἁ B. οὐδ' αὖ K. L. T. οὐδὲ al.

693. χρυσάνιος A. K. L. χρυσήνιος B. T.

694. δ' T. δὲ A. B. K. L. V.

695. ἐπακούω mss. Dedi ὂν ἀκούω.

696. νάσῳ Πέλοπος πώποτε mss. νάσῳ ποτὲ F. G. Schmidt. Πέλοπος excludunt. Bergk. Mein. Ritsch. Delendum forsan Πέλοπος πώποτε cum Nauckio. Cf. ad v. ant. 709.

698. φύτευμ' mss. φίτυμ' conj. Nauck. (Cf. v. ant. 715.) Cf. Aesch. Ag. 1281. Sed φύτευμα legitur Pind. Ol. 3, 32. Plat. Legg. 761 B. ἀχείρωτον plerique mss. et Pollux 2, 154. ἀχήρητον L. pr. Nauck.

ἐγχέων φόβημα δαΐων,
ὃ τᾷδε θάλλει μέγιστα χώρᾳ,
γλαυκᾶς παιδοτρόφου θαλλὸν ἐλάας·
τὰν οὔτις οὔτε νεαρὸς οὔτε γήρᾳ
συνναίων ἁλιώσει χερὶ πέρσας· ὁ γὰρ αἰὲν ὁρῶν κύκλος
λεύσσει νιν μορίου Διὸς
χἀ γλαυκῶπις Ἀθάνα.

ἀντ. β.

ἄλλον δ' αἶνον ἔχω ματροπόλει τᾷδε κράτιστον,
δῶρον τοῦ μεγάλου δαίμονος, εἰπεῖν, χθονὸς
αὔχημα μέγιστον,

ἀχείρητον L. corr. K. aliique nonnulli. Quam lectionem temere receperunt Dind. Mein. ἀχείριστον conj. Lud. Dind. Recte, opinor. Cf. ad Ant. 858. Per ἀχειρούργητον explicat Pollux. Analogiae repugnat ἀχείρητος: nullum enim est verbum χειρεῖν. Qu. ἀπόρθητον. αὐτόποιον] Nauckio suspectum. αὐτόπιον (?) conj. Dind. in Lex. Anglice self-produced (not planted by the hand of man).

700. μεγίστα (μεγίστᾳ L.) mss. μέγιστα Tricl. Fort. μάλιστα, sed magis poeticum est μέγιστα. Cf. O. R. 1223.

701. φύλλον A. K. L. θάλλον (sic) B. θαλλὸν (γρ. φύλλον) T. Quod recepi. Cf. El. 422. Plat. Legg. 943 C. ὁ τῆς ἐλαίας θαλλός. Aeschin. 80, 37. θαλλοῦ στέφανος. Hom. Od. 17, 224.

702. τὸ μέν τις mss. τὰν οὔτις optime correxit Nauck. Manifesta Aeschyli imitatio Ag. 358. ὡς μήτε γέρων μήτ' οὖν νεαρῶν τις ὑπερτελέσαι κτλ.

703. σημαίνων mss. Correxi jamdudum συνναίων, quod receperunt Weckl. Jebb. al. Cf. 1238. ξυνοικεῖ γήρᾳ πρόπαντα κακά. Aj. 339. 611. O. R. 1206. ἄταισιν ἀγρίαις ξύνοικος. 338. 17. El. 341. Phil. 472. κακοῖσι — ἐνναίοντα. Eur. Fr. 370, 2. μετὰ δ' ἀσυχίας πολιῷ γήρᾳ συνοικοίην. Fr. 897, 8. Plura dedi in Adv. Soph. p. 107. χωρίς τ' ἀγρίων | ναίοιμι τρόπων. χειρὶ mss. χερὶ Heath.

704. εἰς αἰὲν aut εἰσαιὲν mss. αἰὲς Porson. αἰὲν Herm.

705. λεύσσει] Fort. σώζει.

708. χθονὸς addidit Porson.

709. δαίμονος [εἰπεῖν] F. G. Schmidt. αὔχημα μέγιστον] Haec proscribit Nauck.

710. Excludenda fortasse sunt verba αὔχημα μέγιστον. Cf. ad v. str. 697.

εὔιππον, εὔπωλον, εὐθάλασσον.
ὦ παῖ Κρόνου, σὺ γάρ νιν ἐς
τόδ' ἧρας αὔχημ', ἄναξ Ποσειδᾶν,
ἵπποισιν τὸν ἀκεστῆρα χαλινὸν
πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς·
ἁ δ' εὐήρετμος ἔκπαγλ' ἁλία χερσὶ παραπτομένα πλάτα
θρώσκει, τῶν ἑκατομπόδων
Νηρῄδων ἀκόλουθος.
ΑΝ. *ὦ πλεῖστ' ἐπαίνοις εὐλογούμενον πέδον,*
νῦν σὸν τὰ λαμπρὰ ταῦτα δὴ φαίνειν ἔπη.
ΟΙ. *τί δ' ἐστὶν, ὦ παῖ, καινόν; ΑΝ. ἆσσον ἔρχεται*
Κρέων ὅδ' ἡμῶν οὐκ ἄνευ πομπῶν, πάτερ.
ΟΙ. *ὦ φίλτατοι γέροντες, ἐξ ὑμῶν ἐμοὶ*
φαίνοιτ' ἂν ἤδη τέρμα τῆς σωτηρίας.
ΧΟ. *θάρσει, τάδ' ἔσται· καὶ γὰρ εἰ γέρων κυρῶ,*
τὸ τῆσδε χώρας οὐ γεγήρακε σθένος.

ΚΡΕΩΝ.

ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες,

711. Qu. *εὔιππον* (gl. *εὔπωλον*) *εἶναι νιν, εὐθάλασσον,* aut *ἔστιν γὰρ εὔιππος, εὐθάλασσος.* *εὔιππον*] Cf. 668. *εὐίππου — τᾶσδε χώρας.*

712. *εἰς* mss. *ἐς* Dind.

713. *εἶσας* (*εἴσας, εἶσας*) mss. Qu. *ἧρας.* *Ποσειδῶν* B. V. et (sup. *ἀν*) T. *Ποσειδᾶν* K. L. *Ποσειδὰν* A. V. Dind. in Lex. Soph.

714. *ἵπποισι* B. K. L. *ἵπποισιν* T.

715. *ταῖσδ' ἔκτισας* A. B. K. L. T. *ταῖσδ' ἐκτίσας* (sic) L b. corr. *ταῖσδε κτίσας* Mein. Qu. *ταῖσδε ζεύξας.*

716. *ἁ δ'*] *σὰ δ'* Musgr.

717. *χερσὶ παραπτομένα*] *χερσὶν ἐρεσσομένα* Bl.

718. *θρῴσκει* L. *ἑκατομπόδων*] Qu. *ἑκατὸν κορᾶν.*

721. *σοὶ* mss. *σὸν* Nauck. Mein. Dind. *δεῖ* A. B. L. *δὴ* Dind. al. *φαίνειν* mss. *κραίνειν* Nauck.

723. *ἡμῖν* mss. Dind. *ἡμῶν* Bl. Cf. 312. El. 900. Aesch. Fr. 172.

726. *παρέσται* mss. Corrigendum videtur *φανεῖται,* aut *τάδ' ἔσται.* *κυρῶ* A. B. T. et vulg. *ἐγὼ* (*κυρῶ* sup. ab S.) L. Dind. Qu. *εἰ γέρων κυρῶ,* coll. Tr. 291. *τέρψις ἐμφανὴς κυρεῖ.*

727. *χώρας*] *χειρὸς* Naber. *γεγήρακεν* L.

ὁρῶ τιν' ὑμᾶς οὐ μάτην εἰληφότα
φόβον νεώρη τῆς ἐμῆς ἐπεισόδου·
ὃν μήτ' ὀκνεῖτε μήτ' ἀφῆτ' ἔπος κακόν.
ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθεὶς, ἐπεὶ
γέρων μέν εἰμι, πρὸς πόλιν δ' ἐπίσταμαι
σθένουσαν ἥκων, εἴ τιν' Ἑλλάδος, μέγα.
ἀλλ' ἄνδρα τόνδε τηλικόσδ' ἀπεστάλην
πείσων ἕπεσθαι πρὸς τὸ Καδμείων πέδον,
οὐκ ἐξ ἑνὸς στείλαντος, ἀλλ' ἀστῶν ὑπὸ
πάντων κελευσθεὶς, οὕνεχ' ἧκέ μοι γένει
τὰ τοῦδε πενθεῖν πήμαθ' ἑνὶ πλεῖστον πόλεως.
ἀλλ', ὦ ταλαίπωρ' Οἰδίπους, κλύων ἐμοῦ
ἱκοῦ πρὸς οἴκους. πᾶς σε Καδμείων λεὼς
φιλεῖ δικαίως, ἐκ δὲ τῶν μάλιστ' ἐγὼ,
ὅσῳπερ, εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν

729. *ὀμμάτων* mss. Vix sanum. Suspectum etiam Nauckio. Correxerim *ἐμφανῶς*, aut potius *οὐ μάτην* (non sine causa). *εἰληφότας* mss. et vulg. Dedi *εἰληφότα*. Vulgatam tuetur Jebb, coll. Aj. 345. Eur. Suppl. 1050.

730. *νεώρη* A. K. L. *νεωρῆ* B. T. Cf. ad El. 901.

735. *τόνδε τηλικόνδ'* mss. *τόνδε τηλικόσδ'* Br. Dedi *τόνδ' ὢν τηλικόσδ'*, ut in 959. *τηλικόσδ' ὤν*. Sed cf. 751.

736. *Καδμείων* B. K. L. *Καδμεῖον* A. T. V. Cf. ad O. R. 29.

737. *ἀνδρῶν* A. K. L. *ἀστῶν* B. T. Herw. Recte. *ὕπο* A. B. K. L. *ὑπὸ* V.

739. Versum excludit Dobr. *πήματα πλεῖστον* Markland. Qu. *τὰς τοῦδε πενθεῖν πημονὰς* —. *εἰς* L. *εἰ* (sup. ς) K. *ἢ* A. B. T. V. *ἐς* Dind. Lege *πήμαθ' ἑνὶ* (pro *εἰς*) *πλεῖστον πόλεως*. Cf. 563. *χὡς τις* (l. *εἷς*) *πλεῖστ' ἀνὴρ* — *ἤθλησα κινδυνεύματ'*. Tr. 460. *χἀτέρας πλείστας ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε δή*. Aj. 1340. O. R. 1380. Ph. 1344. Eur. Her. 8.

741. *ἴκου* mss. *ἱκοῦ* Elmsl. *Καδμείων* A. B. K. L. *Καδμεῖος* V. al. Cf. ad 736. O. R. 29.

742. *καλεῖ* mss. Vitiosum. Qu. *φιλεῖ* aut *σέβει*. *μάλιστ'* A. K. L. *πάντων* B. T. V.

743. Verba *εἰ μὴ* — *κάκιστος* spuria habet Nauck. Qu. *εἰ μὴ αἴσχιστος ἀνθρώπων ἔφυν,* | *ἀλγῶ μάλιστα* (aut *'πὶ πλεῖστον*) *τοῖσι σοῖς κακοῖς, γέρον*. Cf. Ph. 558. *εἰ μὴ κακὸς πέφυκα*.

κακὸς, μάλιστα σοῖς κακοῖς ἀλγῶ, γέρον,
ὁρῶν σε τὸν δύστηνον ὄντα μὲν ξένον,
ἀεὶ δ' ἀλήτην κἀπὶ προσπόλου μιᾶς
βιοστερῆ χωροῦντα, τὴν ἐγὼ τάλας
οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκείας πεσεῖν
ἔδοξ' ὅσον πέπτωκεν ἥδε δύσμορος,
ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα
πτωχῇ διαίτῃ, τηλικοῦτος, οὐ γάμων
ἔγκληρος, ἀλλὰ τοὐπιόντος ἁρπάσαι.
ἆρ' ἄθλιον τοὔνειδος, ὢ τάλας ἐγὼ,
ὠνείδισ' ἐς σὲ κἀμὲ καὶ τὸ πᾶν γένος;
ἀλλ' οὐ γὰρ ἔστι τἀμφανῆ κρύπτειν, σύ νιν
πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ
κρύψον θελήσας ἄστυ καὶ δόμους μολεῖν
τοὺς σοὺς πατρῴους, τήνδε τὴν πόλιν φίλως
λιπών· ἐπαξία γάρ· ἡ δ' οἴκοι πλέον
δίκῃ σέβοιτ' ἂν οὖσα σὴ πάλαι τροφός.

744. *κάκιστος, ἀλγῶ τοῖσι σοῖς κακοῖς, γέρον* mss. Lege *κακὸς, μάλιστα σοῖς κακοῖς ἀλγῶ, γέρον.*

746. *κἀπὶ προσπόλου μιᾶς* —] Cf. O. R. 148. *κἀπὶ σμικρᾶς μέγας ὥρμουν.* Dem. p. 319, 18. *οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ.*

748. *αἰκίας* A. B. L. T. *αἰκείας* K.

749. *ἥδε* A. K. L. *ἥδ' ἡ* B. T. V.

751. *πτωχῷ* (*ῇ* sup. a pr. m.) L. *πτωχῇ* cet. mss. Cf. O. R. 1506. *πτωχὰς — ἀλωμένας.*

752. *ἔμπειρος* mss. *ἔγκληρος* Nauck. (Eur. Hipp. 1011. *ἔγκληρον εὐνὴν προσλαβών.* Iph. T. 682. *ἔγκληρον σὴν κασιγνήτην γαμῶν.* Herc. 468.) Cf. Ant. 811. *οὔθ' ὑμεναίων ἔγκληρον —.*

754. *εἰς* mss. *ἐς* Dind.

755. *ἀλλ' οὐ γὰρ ἔστι*] *ἀλλ', εἴπερ ἔστι* conj. Herw. Cf. O. R. 1409. *ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλὸν,* | — *ἔξω.* *σὺ νῦν* L. *σύ νιν* Bl. Dind. Mein.

757. *κρύψον θελήσας* A. K. L. *κύψον* B. T. V. Nauckio suspectum. Fort. *εἶξον θελήσας.* Cf. O. R. 649. *πιθοῦ θελήσας.* Ph. 1343. *συγχώρει θέλων.* Sed non temere sollicitandum est *κρύψον.* Creon Oedipum domum redire suadet, ut ibi seclusus publicam observationem devitare et infortunia sua celare possit.

759. *εἰπών* mss. *λιπών* Bl. prob. Dind. *φίλος λιπών* conj. Herw.

ΟΙ. ὦ πάντα τολμῶν κἀξ ἅπαντος ἂν φέρων
λόγου δικαίου μηχάνημα ποικίλον,
τί ταῦτα πειρᾷ κἀμὲ δεύτερον θέλεις
ἑλεῖν ἐν οἷς μάλιστ' ἂν ἀλγοίην ἁλούς;
πρόσθεν τε γάρ με τοῖσιν οἰκείοις κακοῖς
νοσοῦνθ', ὅτ' ἦν μοι τέρψις ἐκπεσεῖν χθονός,
οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν·
ἀλλ', ἡνίκ' ἤδη μεστὸς ἦ θυμούμενος
καὶ τοὐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκύ,
[καὶ μάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι,]
τότ' ἐξεώθεις κἀξέβαλλες, οὐδέ σοι
τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον·
νῦν τ' αὖθις, ἡνίκ' εἰσορᾷς πόλιν τέ μοι
ξυνοῦσαν εὔνουν τήνδε καὶ γένος τὸ πᾶν,
πειρᾷ μ' ἀποσπᾶν σκληρὰ μαλθακῶς λέγων.
καίτοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν;
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις τότε
δωροῖθ' ὅτ' οὐκέθ' ἡ χάρις χάριν φέροι,

761. ὦ πάντα τολμῶν mss. Qu. ὦ πᾶν σὺ τολμῶν. Cf. Fr. 195. κἀπὸ παντὸς mss. Scripserat, ni fallor, κἀξ ἅπαντος, quod in κἀπὸ παντὸς facile corrumpi poterat. Sic 807. ὅστις ἐξ ἅπαντος εὖ λέγει. Ant. 312. οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν. φέρων] πλέκων Naber, coll. Eur. Andr. 66. μηχανὰς πλέκειν. Rhes. 834. πλέκων λόγους. Ion. 1280. 1410.

767. προσθέσθαι χάριν] Nonne προσθεῖναι χάριν? Cf. Tr. 1253. κἀπὶ τοῖσδε τὴν χάριν | ταχεῖαν, ὦ παῖ, πρόσθες. El. 933. Ant. 243. Fr. 324, 2. et ad Tr. 996. 768. ἦν mss. ἦ Elmsl. Dind.

769. καὶ τοὐν] Qu. καί μοι. 771. συγγενὲς K. L. ξυγγενὲς B.

769 b. Ut ex 438 repetitum damnant Valck. aliique.

771. συγγενὲς K. L. ξυγγενὲς B. φίλον] μέλον Weckl.

772. νῦν τ'] Hoc praecedenti πρόσθεν τε (765) respondet.

774. μετασπᾶν mss. κατασπᾶν Naber. Lege μ' ἀποσπᾶν. Cf. 866.

775. τίς αὕτη B. T. τοσαύτη A. K. L. Qu. καὶ τίς τοσαύτη —. Cf. Tr. 1140. 778. χρῄζοις M. L b. χρῄζεις L. et cet.

779. οὐδὲν mss. οὐκέθ' Herw. Recte. φέροι B. K. T. V. φέρει A. φέρει (οι sup. a m. pr.) L.

ἆρ' οὐ ματαίας τῆσδ' ἂν ἡδονῆς τύχοις;
τοιαῦτα μέντοι καὶ σὺ προσφέρεις ἐμοί,
λόγῳ μὲν ἐσθλά, τοῖσι δ' ἔργοισιν κακά.
φράσω δὲ καὶ τοῖσδ', ὥς σε δηλώσω κακόν.
ἥκεις ἔμ' ἄξων οὐχ ἵν' ἐς δόμους ἄγῃς,
ἀλλ' ὡς πάραυλον οἰκίσῃς, πόλις δέ σοι
κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός.
οὐκ ἔστι σοι ταῦτ', ἀλλὰ τοιάδ' ἔστ', ἐκεῖ
χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί·
ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς
χθονὸς λαχεῖν ὅσον νιν ἐνθάπτειν μόνον.
ἆρ' οὐκ ἄμεινον ἢ σὺ τἀν Θήβαις φρονῶ;
πολλῷ γ', ὅσῳπερ ἐκ σαφεστέρων κλύω,
Φοίβου τε καὐτοῦ Ζηνός, ὃς κείνου πατήρ.
τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα
πολλὴν ἔχον στόμωσιν· ἐν δὲ τῷ λέγειν

780. *ἆρ' ἂν* mss. *ἆρ' οὐ* Herw. *ματαίου* mss. Dedi *ματαίας*. Cf. El. 642. etc. *τῆσδ' ἂν* M. *τῆσδ'* A. K. L. *τῆσδέ γ'* B. T.

781. *καὶ σὺ* mss. Qu. *νῦν σύ*.

783. *καὶ τοῖς* K. L. *καὶ τοῖσδ'* cet. I. e. Choro. Qu. *καὶ ταῦθ'* aut *χἄτερ'*. *ὥς σε* mss. Qu. *οἷς σε*.

784. *ἄξων*] *ἕλξων* F. W. Schmidt. Qu. *ἥκεις μ' ἀφέλξων*. *ἐς* mss.

786. *τῶνδ'* mss. *τῆσδ'* Scal.

787. *ἀλλά σοι τάδ' ἔστ'* (post *ἔστ'* duae aut tres litterae erasae in L.) mss. Lege *ἀλλὰ τοιάδ' ἔστ'*. 789. *ἔστιν*] Qu. *ἔσται*.

790. *τοσοῦτον ἐνθανεῖν μόνον* mss. Hoc non bene Graecum mihi videtnr. Lege *ὅσον νιν ἐνθάπτειν μόνον*. (Glossema *τοσοῦτον* male invectum *ὅσονπερ* expulit.) Aut *ὅσον σφιν ἐνθανεῖν μόνον*. Aut *τοσόνδ' ὅσον θάπτειν μόνον*. Cf. O. R. 1191. *τοσοῦτον ὅσον δοκεῖν*. Thuc. I. 2. *νεμόμενοι — τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν*. Aesch. Sept. 730. *ὠμόφρων σίδαρος χθόνα ναίειν διαπήλας ὁπόσαν καὶ φθιμένοισιν* (*καπφθιμένους νιν?*) *κατέχειν*. Lectio plena est Aesch. Ag. 860. *τοσόνδ' ὅσονπερ* —. Soph. El. 287. *τοσόνδ' ὅσον*. *ἐνθανεῖν* mss. *ἐνθάπτειν* conj. Mein.

792. 793. Versus fortasse spurii.

792. *ἐκ* L. B. T. al. *καὶ* A. Nauck. Fortasse recte, sed cf. 1300.

793. Interpolatum habent C. Lugebil. Nauck.

κάκ' ἂν λάβοις ἂν πλείον' ἢ σωτήρια.
ἀλλ' οἶδα γάρ σε ταῦτα μὴ πείσων, ἴϑι·
ἡμᾶς δ' ἔα ζῆν ἐνϑάδ'· οὐ γὰρ ἂν κακῶς
οὐδ' ὧδ' ἔχοντες ζῷμεν, εἰ τερποίμεϑα.

ΚΡ. πότερα νομίζεις δυστυχεῖν ἔμ' ἐς τ' ' σὰ
ἢ σ' ἐς τὰ σαυτοῦ μᾶλλον ἐν τῷ νῦν λόγῳ;

ΟΙ. ἐμοὶ μέν ἐσϑ' ἥδιστον, εἰ σὺ μήτ' ἐμὲ
πείϑειν οἷός τ' εἶ μήτε τούσδε τοὺς πέλας.

ΚΡ. ὦ δύσμορ', οὐδὲ τῷ χρόνῳ φύσας φανεῖ
φρένας ποτ', ἀλλὰ λῦμα τῷ γήρᾳ τρέφει;

ΟΙ. γλώσσῃ σὺ δεινός, ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον ὅστις ἐξ ἅπαντος εὖ λέγει.

ΚΡ. χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὸ καίρια.

ΟΙ. ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.

ΚΡ. οὐ δῆϑ' ὅτῳ γε νοῦς ἴσος καὶ σοὶ πάρα.

ΟΙ. ἄπελϑ', ἐρῶ γὰρ καὶ πρὸ τῶνδε, μηδέ με
δίδασκ' ἐφορμῶν ἔνϑα χρὴ ναίειν ἐμέ.

ΚΡ. μαρτύρομαι τούσδ', οὐ σέ· πρὸς δὲ τοὺς φίλους
οἷ' ἀνταμείβει ῥήματ', ἤν σ' ἕλω ποτὲ —

ΟΙ. τίς δ' ἄν με τῶνδε συμμάχων ἕλοι βίᾳ;

796. τὰ πλείον' mss. Dedi ἂν πλείον'. Cf. Ant. 313. ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς (ἂν?) πλείονας | ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους.

797. πείϑων mss. Lege πείσων. Cf. ad Ph. 1252. Aesch. Ag. 1239.

800. δυστυχεῖν] δυστοχεῖν (male conjicere) conj. Meineke.

801. εἰς mss. ἐς Dind.

808. τὰ mss. τὸ Suid. v. χωρίς. Quod recepi. Post τό τ' εἰπεῖν recte infertur καὶ τὸ (εἰπεῖν).

809. καὶ τὰ — mss. καὶ τὸ — schol. et Suid. in χωρὶς τὰ Μυσῶν. Elmsl. al. Cf. Aesch. Pr. 927. μαϑήσεται | ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα. Eur. Alc. 528. χωρὶς τό τ' εἶναι καὶ τὸ μὴ νομίζεται. Qu. ὡς δὴ σὺ βραχέα ταῦτα κἂν καιρῷ λέγεις.

812. μηδέ με φύλασσ' mss. Sensus, ni fallor, requirit μηδε με δίδασκ', aut μηδέ μοι | πρόστασσ' (aut ἐπίτασσ'). Cf. 654. μὴ δίδασχ' ἃ χρὴ ποιεῖν.

813. οὐ σέ, πρὸς δὲ (sic L. A. K. πρός γε B. T.) τοὺς φίλους mss. οὓς σὺ — Halm. οὐχὶ σ', ὃς γνώσει φίλους Dind.

814. ἤν σ' ἕλω ποτὲ — (sic) Bergk.

ΚΡ. ἦ μὴν σὺ κἄνευ τῶνδε λυπηθεὶς ἔσει.
ΟΙ. ποίῳ σὺν ἔργῳ τοῦτ' ἀπειλήσας ἔχεις;
ΚΡ. παίδοιν δυοῖν σου τὴν μὲν ἀρτίως ἐγὼ
ξυναρπάσας ἔπεμψα, τὴν δ' ἄξω τάχα.
ΟΙ. οἴμοι. ΚΡ. τάχ' ἕξεις μᾶλλον οἰμώζειν τάδε.
ΟΙ. τὴν παῖδ' ἔχεις μου; ΚΡ. τήνδε τ' οὐ μακροῦ χρόνου.
ΟΙ. ἰὼ ξένοι, τί δράσετ'; ἦ προδώσετε
κοὐκ ἐξελᾶτε τὸν ἀσεβῆ τῆσδε χθονός;
ΧΟ. χώρει, ξέν', ἔξω θᾶσσον· οὔτε γὰρ τὰ νῦν
δίκαια πράσσεις οὔθ' ἃ πρόσθεν εἰργάσω.
ΚΡ. ὑμῖν ἂν εἴη τήνδε καιρὸς ἐξάγειν
ἄκουσαν, εἰ θέλουσα μὴ πορεύσεται.
ΑΝ. οἴμοι τάλαινα, ποῖ φύγω; ποίαν λάβω
θεῶν ἄρηξιν ἢ βροτῶν; ΧΟ. τί δρᾷς, ξένε;
ΚΡ. οὐχ ἅψομαι τοῦδ' ἀνδρός, ἀλλὰ τῆς ἐμῆς.
ΟΙ. ὦ γῆς ἄνακτες. ΧΟ. ὦ ξέν', οὐ δίκαια δρᾷς.
ΚΡ. δίκαια. ΧΟ. πῶς δίκαια; ΚΡ. τοὺς ἐμοὺς ἄγω.
ΟΙ. ἰὼ πόλις.

στρ.

ΧΟ. τί δρᾷς, ὦ ξέν'; οὐ μεθήσεις; τάχ' ἐς βάσανον εἶ χερῶν.
ΚΡ. εἴργου. ΧΟ. σοῦ μὲν οὔ τάδε γε μωμένου.

816. τῶνδε mss. τοῦδε Musgr. Dind. Jebb.

818. σοι] σε (οι supr. pr. m.) L. Dedi σου.

820. ὤμοι aut ὤιμοι (L.) mss. οἴμοι Br. Dind. Quod hic praeferendum propter sequens οἰμώζειν.

821. τὴν παῖδ' ἔχεις μου; ΚΡ. τήνδε γ' mss. Qu. τὴν παῖδ' ἔχεις; ΚΡ. καὶ τήνδε γ' —. Sed cf. 331. ἦ τῆσδε κἀμοῦ; ΙΣ. δυσμόρου τ' ἐμοῦ τρίτης. τήνδε γ' mss. τήνδε τ' Both. Herm. Dind.

822. ἦ K. L. ἢ A. B. T.

823. τῆσδε χθονός] Fort. τῆσδ' ἐκ χθονός. Sed cf. 356. 376. Fr. 731, 2.

825. δίκαια πράσσεις mss. δίκαι' ἃ πράσσεις conj. Mein. εἴργασαι mss. εἰργάσω Reisig. Bl. Cf. 854. et ad Phil. 928. 1172.

827. πορεύσεται A. L. corr. πορεύεται B. K. L. pr.

832. τοὺς ἐμοὺς] Nonne τὰς ἐμάς? Cf. 830. τῆς ἐμῆς.

834. εἰς mss. ἐς Dind.

835. οὐκ ἀφήσεις;] Qu. οὐ μεθήσεις (Anglice let go). Cf. 838. μέθες — τὴν παῖδα. Sed 857. οὔτοι σ' ἀφήσω.

ΚΡ. πόλει μαχεῖ τἄρ', εἴ τι πημανεῖς ἐμέ.
ΟΙ. οὐκ ἠγόρευον ταῦτ' ἐγώ; ΧΟ. μέθες χεροῖν
τὴν παῖδα θᾶσσον. ΚΡ. μὴ 'πίτασσ' ὧν μὴ κρατεῖς.
ΧΟ. χαλᾶν λέγω σοι. ΚΡ. σοὶ δ' ἐγώ γ' ὁδοιπορεῖν.
ΧΟ. πρόβαθ', ὧδε βᾶτε βᾶτ', ἔντοποι.
πόλις † ἐναίρεται, πόλις ἐμὰ, σθένει. προβᾶθ' ὧδέ μοι
ΑΝ. ἀφέλκομαι δύστηνος, ὦ ξένοι ξένοι.
ΟΙ. ποῦ, τέκνον, εἶ μοι; ΑΝ. πρὸς βίαν πορεύομαι.
ΟΙ. ὄρεξον, ὦ παῖ, χεῖρας. ΑΝ. ἀλλ' οὐδὲν σθένω.
ΚΡ. οὐκ ἄξεθ' ὑμεῖς; ΟΙ. ὦ τάλας ἐγὼ, τάλας.
ΚΡ. οὔκουν ποτ' ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι
ὁδοιπορήσῃς· ἀλλ', ἐπεὶ νικᾶν θέλεις
πατρίδα τε τὴν σὴν καὶ φίλους, ὑφ' ὧν ἐγὼ

837. *ΚΡ.*] Oedipo tribuunt mss. Correctum ex schol. *μάχῃ* mss. *μαχεῖ* Porson. Idem vitium est Arist. Ran. 607. *γὰρ* mss. Lege *τἄρ'*. Cf. Arist. Eq. 366. *πημαίνεις* mss. *πημανεῖς* Porson.

838—840. Personae vulgo sic distinguebantur, *ΧΟ. οὐκ ἠγόρευον —; ΚΡ. μέθες —. ΧΟ. μὴ 'πίτασσ' —. ΚΡ. χαλᾶν —. ΧΟ. σοὶ δ' —.* Correxit Wunder. *ΧΟ.* mss. *ΟΙ.* Mudge.

839. *ἃ μὴ κρατεῖς* mss. Vitiosum est *ἅ*: sensus enim est, Noli imperare iis quos non regis. Itaque correxi *ὧν μὴ κρατεῖς*. Cf. Ant. 664. *ὅστις — τοὐπιτάσσειν τοῖς κρατύνουσιν νοεῖ* (*κρατοῦσιν ἐννοεῖ?*). Aesch. Eum. 574. *ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει.* Theocr. 15, 90. *πασάμενος ἐπίτασσε.*

840. *σοὶ δ' ἔγωγ'* vulg. Scrib. *σοὶ δ' ἐγώ γ'* (sic).

841. *προβᾶθ'* (L.) aut *πρόσβαθ'* mss. *πρόβαθ'* Nauck. Mein. Recte. *ὧδε βᾶτε* T. *ὧδ' ἔμβατε* B. K. *ὧδ' ἐμβᾶτε* L. *ἐντόπιοι* mss. *ἔντοποι* Br.

842. *ἐναίρεται*] I. e. interficitur. Quod hic vix aptum est. Qu. *ὑβρίζεται*. *σθένει*] Idem fere quod *βίᾳ*. Cf. Eur. Bacch. 953. *οὐ σθένει νικητέον | γυναῖκας*. 1127. *ἀπεσπάραξεν ὦμον οὐχ ὑπὸ σθένους*.

844. *ἀφέλκομ', ὦ δύστηνος* mss. *ἀφέλκομαι* — Tricl. *ὦ ξένοι ξένοι*] Qu. *ὦ ξένοι, βίᾳ*, aut *ὦ φίλοι ξένοι* 845. *μοι*] Fort. *σύ*.

848. *τούτοιν* mss. Qu. *ταύταιν*. Cf. 859. 1149. O. R. 1504.

849. *ὁδοιπορήσῃς* A. et (sup. *εις*) B. et Ald. *ὁδοιπορήσεις* L. et cet. Cf. Aeschin. p. 177 B. *τοὺς μὲν γὰρ πονηροὺς οὐ μή ποτε βελτίους ποιήσετε* (l. *ποιήσητε*). 850. *τε* om. mss. addidit Tricl.

ταχθεὶς τάδ' ἔρδω καὶ τύραννος ὢν ὅμως,
νίκα· χρόνῳ γάρ, οἶδ' ἐγώ, γνώσει τάδε,
ὁθούνεκ' αὐτὸς αὑτὸν οὔτε νῦν καλὰ
δρᾷς οὔτε πρόσθεν εἰργάσω βίᾳ φίλων
ὀργῇ χάριν δούς, ἥ σ' ἀεὶ λυμαίνεται.
ΧΟ. ἐπίσχες αὐτοῦ, ξεῖνε. ΚΡ. μὴ ψαύειν λέγω.
ΧΟ. οὔτοι σ' ἀφήσω ταῖνδέ γ' ἐστερημένος.
ΚΡ. ἔτι μεῖζον ἄρα ῥύσιον πόλει τάχα
τίσεις· ἐφάψομαι γὰρ οὐ ταύταιν μόναιν.
ΧΟ. ἀλλ' ἐς τί τρέψει; ΚΡ. τόνδ' ἀπάξομαι λαβών.
ΧΟ. δεινὸν λέγεις. ΚΡ. ὡς τοῦτο νῦν πεπράξεται.
ΧΟ. ἢν μή σ' ὁ κραίνων τῆσδε γῆς ἀπειργάθῃ.
ΟΙ. ὦ φθέγμ' ἀναιδές, ἦ σὺ γὰρ ψαύσεις ἐμοῦ;

851. *ἔρδω* K. L. *ἕρδω* B. T.

853. *αὐτὸν* T. *αὑτὸν* L. *σαυτὸν* A. Cf. ad 930.

857. *τῶνδέ γ'* mss. Dedi *ταῖνδέ γ'*. Cf. 848. 859.

858. *καὶ μεῖζον ἆρα* (*ἄρα* L.) mss. Qu. *μεῖζον σὺ τἄρα* (Bl.), aut *μεῖζον ἔτι τἄρα* —, aut *μεῖζον ἄρα τῇδε* —. Vix hic placet *ἄρα*. Multo melius convenit *τἄρα*. *πόλει τάχα*] Fort. *τῇμῇ πόλει*. Cf. Aesch. Sept. 46. *πόλει κατασκαφὰς θέντες*. Infra 1519. *ἅ σοι* | *γήρως ἄλυπα τῇδε κείσεται πόλει*.

859. *θήσεις* mss. *τίσεις* conj. Nauck. Recte, opinor. Cf. 635. *γῇ τῇδε* — *δασμὸν οὐ σμικρὸν τίνει*. Ph. 959. *φόνον φόνου δὲ ῥύσιον τίσω τάλας*. Ita *πόλει* de Thebis intelligendum erit. Cf. 785. *πόλις δέ σοι* | *κακῶν ἄνατος τῆσδ' ἀπαλλαχθῇ χθονός*. Ubi *πόλις* est Thebae. "*ῥύσιον* (pignus) ipse Oedipus est, quod captus ab Thebanis repetendus et pretio redimendus est ab his unde ablatus est." (Dind.) *ταύταιν* mss. Qu. *τούτοιν*. Cf. 848. et ad O. R. 1504.

861. *δεινὸν* (*λέγοις* L.) *λέγεις* mss. *δεινοὶ λόγοι* Nauck. Qu. *δεινὸν λέγεις σύ* (aut *δεινοὶ λόγοι σοί*). *ΚΡ. τοῦτο* —, aut *δεινὸν λέγεις τοῦτ'*. *ΚΡ. ἀλλὰ μὴν πεπράξεται*. *τοῦτο* mss. *ὡς τοῦτο* Tricl. Fortasse recte. Ita exciderit *ὡς* post simile — *εις*. Cf. Tr. 1135. *δεινοῦ λόγου κατῆρξας*. O. R. 513. *δείν' ἔπη*. O. C. 661. *δείν' ἐπερρώσθη λέγειν*.

862. *ΚΡ. ἢν μή μ' ὁ κραίνων* mss. *ΧΟ. ἢν μή σ' ὁ κραίνων* Piderit. Jebb, qui versum Choro assignant.

863. *φθέγμ'* mss. *θρέμμ'* Bl., ut in El. 622. Arist. Lys. 369. Qu. *λῆμ'*, ut in 960.

ΚΡ. αὐδῶ σιωπᾶν. ΟΙ. μὴ γὰρ αἵδε δαίμονες
θεῖέν μ' ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι,
ὅς μ', ὦ κάκιστε, ψιλὸν ὄντ' ἀποσπάσας
πρὸς ὄμμασιν τοῖς πρόσθεν ἐξοίχει βίᾳ.
τοιγὰρ σέ τ' αὐτὸν καὶ γένος τὸ σὸν πρόπαν
ὁ πάντα λεύσσων Ἥλιος δοίη βίον
τοιοῦτον οἷον κἀμὲ γηράναι ποτέ.
ΚΡ. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι;
ΟΙ. ὁρῶσι κἀμὲ καὶ σὲ καὶ φρονοῦσ' ὅτι
ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι.
ΚΡ. οὔτοι καθέξω θυμόν, ἀλλ' ἄξω βίᾳ
κεἰ μοῦνός εἰμι τόνδε καὶ γήρᾳ βαρύς.

ἀντ.

ΟΙ. ἰὼ τάλας.
ΧΟ. ὅσον λῆμ' ἔχων ἀφίκου, ξέν', εἰ τάδε δοκεῖς τελεῖν.

865. γῆς mss. τῆς ed. Lond. 1747. σῆς Bl. Qu. τῆσδ' ἀρᾶς μιᾶς ἔτι.

866. ὅς μ', ὦ κάκιστε, — mss. ψιλὸν ὄμμ' mss. Locus hactenus non emendatus. Meinekius nullum se vocabulorum ψιλὸν ὄμμα explicationem quae satisfaceret vidisse dicit. Si epithetum 'solum' significans requireretur, μοῦνον scripturum fuisse Sophoclem opinatur. Omnia plana fient, modo levi emendatione ψιλὸν ὄντ' corrigas. Cf. 1008. ἀφ' ἧς (γῆς) σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ | αὐτόν τ' ἐχειροῦ τὰς κόρας τ' οἴχει λαβών. 895. τέκνων | ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα. Aj. 1175. ψιλὸν] Inermem. Cf. 1029. ἔξοιδά σε | οὐ ψιλὸν οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν | ἥκοντα. Aj. 1123.

867. ὄμμασιν τοῖς πρόσθεν] Sub. ἀποσπασθεῖσιν. Filias suas jam abreptas dicit. Cf. 447. οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις ὄμμασιν εἷρπον. Qu. πρὸς ταῖς ἐμαῖς κόραισιν.

868. σε καὐτὸν aut σε χ' αὐτὸν mss. σέ τ' αὐτὸν Br. θεῶν mss. Ineptum hoc est. θεὸς Jebb. (Cf. O. R. 661. τὸν πάντων θεῶν θεὸν πρόμον Ἅλιον.) Conveniret etiam πρόπαν.

870. γηρᾶναί ποτε mss. γηράναι (tanquam a γήρημι) ποτέ Blomf. Dind. Mein. al. Scripserat forsan γηράσκειν, quae forma alibi apud nostrum occurrit.

873. ἀμύνομαι] Qu. ἀμείβομαι. Sed cf. 1128. Ph. 602.

875. χρόνῳ βραδύς (γηρῶν βαρύς sup. a m. ant.) L. Lege γήρᾳ βαρύς. Et sic schol. Cf. O. R. 17. οἱ δὲ σὺν γήρᾳ βαρεῖς. Aj. 1017. ἐν γήρᾳ βαρύς. Arist. Ach. 220.

ΚΡ. δοκῶ. ΧΟ. τάνδ' ἄρ' οὐκέτι νεμῶ πόλιν.
ΚΡ. τοῖς τοι δικαίοις καὶ βραχὺς νικᾷ μέγαν.
ΟΙ. ἀκούεθ' οἷα φθέγγεται; ΧΟ. τά γ' οὐ τελεῖ,
(εὖ ἴσθ' ὅτι). ΚΡ. Ζεὺς (ταῦτ') ἂν εἰδείη, σὺ δ' οὔ.
ΧΟ. ἆρ' οὐχ ὕβρις τάδ'; ΚΡ. ὕβρις, ἀλλ' ἀνεκτέα.
ΧΟ. ἰὼ πᾶς λεώς, ἰὼ γᾶς πρόμοι,
μόλετε σὺν τάχει, μόλετ', ἐπεὶ πέραν περῶσ' οἵδε δή.
ΘΗ. τίς ποθ' ἡ βοή; τί τοὔργον; ἐκ τίνος φόβου ποτὲ
βουθυτοῦντά μ' ἀμφὶ βωμὸν ἔσχετ' ἐναλίῳ θεῷ
τοῦδ' ἐπιστάτῃ Κολωνοῦ; λέξαθ', ὡς εἰδῶ τὸ πᾶν
οὗ χάριν δεῦρ' ᾖξα θᾶσσον ἢ καθ' ἡδονὴν ποδός.
ΟΙ. ὦ φίλτατ', ἔγνων γὰρ τὸ προσφώνημά σου,
πέπονθα δεινὰ τοῦδ' ὑπ' ἀνδρὸς ἀρτίως.
ΘΗ. τὰ ποῖα ταῦτα; τίς σ' ὁ πημήνας; λέγε.
ΟΙ. Κρέων ὅδ', ὃν δέδορκας, οἴχεται τέκνων
ἀποσπάσας μου τὴν μόνην ξυνωρίδα.
ΘΗ. πῶς εἶπας; ΟΙ. οἷα δὴ πέπονθ' ἀκήκοας.
ΘΗ. οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν
πρὸς τούσδε βωμοὺς πάντ' ἀναγκάσει λεὼν
ἄνιππον ἱππότην τε θυμάτων ἄπο
σπεύδειν ἀπὸ ῥυτῆρος ἔνθα δίστομοι

879. νέμω mss. νεμῶ Reisig. ex schol., qui per νομιῶ explicat.

880. χὼ βραχὺς mss. Qu. καὶ βραχύς, quum nullus articulus sit ante μέγαν. Cf. Aj. 456. φύγοι τἂν χὼ κακὸς τὸν κρείσσονα.

882. In initio versus lacunam (⏑ ⏒ ⏑ – –), Triclinio praeeunte, indicat Dind. ἴστω μέγας Ζεύς supplet Enger. εἰ Ζεὺς ἔτι Ζεύς Dind. Ipse malim εὖ ἴσθ' ὅτι. ΚΡ. Ζεὺς (ταῦτ') ἂν εἰδείη, σὺ δ' οὔ. Qu. ΚΡ. πῶς οὐ τελεῖ; Ζεὺς —. Ζεὺς ταῦτ' ἂν εἰδείη] ζεῦστ' ἂν (Ζεὺς ταῦτ' ἂν corr. S.) L.

885. περῶσι δὴ mss. περῶσ' οἵδε δὴ Elmsl. Cf. 111. πορεύονται γὰρ οἵδε δή τινες. Ant. 155. ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας —. Qu. περῶσ' ὅρους (sc. Atticae) οἵδε δή. Cf. 155. περᾷς γάρ, περᾷς.

886. φόβου] λόγου conj. Nauck.

890. Versus Nauckio suspectus.

893. τίς δ' ὁ πημήνας mss. Lege τίς σ' —. Cf. ad El. 483.

896. οἷά περ — mss. οἷα καὶ — Jebb. Qu. οἷα δὴ —.

897. οὐκοῦν (sic) L. B. K. T. οὔκουν A.

900. ἀπὸ] Qu. ἄτερ aut ἄνευ. Sic στομίων ἄτερ Aesch. Pr. 295.

μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοί,
ὡς μὴ παρέλθωσ' αἱ κόραι, γέλως δ' ἐγὼ
ξένῳ γένωμαι τῷδε χειρωθεὶς βίᾳ;
ἴθ', ὡς ἄνωγα, σὺν τάχει· τοῦτον δ' ἐγώ,
εἰ μὲν δι' ὀργῆς ἦλθον ἧς ὅδ' ἄξιος,
ἀθῷον οὐ μεθῆκ' ἂν ἐξ ἐμῆς χερός·
νῦν δ' οὕσπερ εἰσελήλυθεν νόμους ἔχων,
τούτοισι κοὐκ ἄλλοισιν ἁρμοσθήσεται.
οὐ γάρ ποτ' ἔξει τῆσδε τῆς χώρας πρὶν ἂν
κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων·
ἐπεὶ δέδρακας οὔτε σοῦ κατάξια
οὔθ' ὧν πέφυκας ἐσθλὸς οὔτε σῆς χθονός,
ὅστις δίκαι' ἀσκοῦσαν εἰσελθὼν πόλιν
κἄνευ νόμου κραίνουσαν οὐδέν, εἶτ' ἀφεὶς
τὰ τῆσδε τῆς γῆς κύρι' ὧδ' ἐπεσπεσὼν
ἄγεις θ' ἃ χρῄζεις καὶ παρίστασαι βίᾳ·
κἀμὴν πόλιν κένανδρον ἢ δούλην τινὰ

903. Post *βίᾳ* interrogationis nota ponenda est.

905. *ἧκον* mss. Malim *ἦλθον* cum Blomf. ad Pers. 511. Cf. O. R. 1357. *οὔκουν πατρός γ' ἂν φονεὺς ἦλθον.* El. 202. et ad El. 797.

906. *ἄτρωτον* mss. *ἀθῷον* T. Halbertsma. Recte, opinor. *οὐ μεθῆκ' ἂν* A. *οὐκ ἀφῆκ' ἂν* B. et (*οὐδ'* —) L. K.

907. *ὥσπερ* mss. *οὕσπερ* Reisk. *αὐτὸς τοὺς νόμους εἰσῆλθ' ἔχων* mss. *αὐτὸς ἤλυθεν νόμους ἔχων* Nauck. Ipse correxi *εἰσελήλυθεν νόμους ἔχων.* Causa corruptelae fuit *εἰσῆλθε* pro *εἰσελήλυθεν* scriptum. Qu. *νῦν ο' οὕσπερ οὗτος ἦλθε δεῦρ' ἔχων νόμους.* Exciderat, opinor, *οὗτος* post simile *οὕσπερ.* De articulo *τοὺς* post *οὕσπερ* cf. ad Ant. 404. *θάπτουσαν ὃν σὺ τὸν νεκρὸν | ἀπεῖπας.*

908. *τούτοισι κοὐκ* L. *τούτοισιν οὐκ* unus ms. et Ald.

911. *οὔτ' ἐμοῦ* aut *οὔτε μου* mss. *οὔτε σοῦ* Nauck. *καταξίως* mss. Lege *κατάξια.* Cf. ad El. 800. Aesch. Cho. 707.

912. *αὐτὸς*] *υἱὸς* Nauck., coll. O. R. 459. Dedi *ἐσθλός.* Cf. El. 322. *πέφυκεν ἐσθλός.* Ph. 96. *ἐσθλοῦ πατρὸς παῖ.* Eur. Fr. 661, 2. *πεφυκὼς ἐσθλός.* Parum placet vulgata lectio. Qu. *οὔθ' οὗ πέφυκας πατρός.* 914. *κραίνουσαν*] *κρίνουσαν* conj. Mein.

915. *ἐπεισπεσὼν* A. B. T. *ἐπιπεσὼν* K. L. Fort. *ὧδέ γ' ἐσπεσών.* Sed cf. 924. *ἐπεμβαίνων.*

917. *καί μοι πόλιν* mss. Qu. *κἀμὴν πόλιν.* *δούλην τινὰ* mss. *βουλῆς δίχα* Maehly.

ἔδοξας εἶναι κἄμ' ἴσον τῷ μηδενί.
καίτοι σε Θῆβαί γ' οὐκ ἐπαίδευσαν κακόν·
οὐ γὰρ φιλοῦσιν ἄνδρας ἐκδίκους τρέφειν,
οὐδ' ἄν σ' ἐπαινέσειαν, εἰ πυθοίατο
συλῶντα τἀμὰ καὶ τὰ τῶν θεῶν βίᾳ
ἄγοντα φωτῶν ἀθλίων ἱκτήρια.
οὔκουν ἔγωγ' ἂν σῆς ἐπεμβαίνων χθονός,
οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα,
ἄνευ γε τοῦ κραίνοντος, ὅστις ἦν, χθονός·
οὔθ' εἷλκον οὔτ' ἂν ἦγον, ἀλλ' ἠπιστάμην
ξένον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεών.
σὺ δ' ἀξίαν οὐκ οὖσαν αἰσχύνεις πόλιν
τὴν αὐτὸς αὐτοῦ, καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι καὶ τοῦ νοῦ κενόν.
εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν,
τὰς παῖδας ὡς τάχιστα δεῦρ' ἄγειν τινά,
εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις
εἶναι βίᾳ τε κοὐχ ἑκών· καὶ ταῦτά σοι
νοῶν θ' ὁμοίως κἀπὸ τῆς γλώσσης λέγω.
ΧΟ. ὁρᾷς ἵν' ἥκεις, ὦ ξέν'; ὡς ἀφ' ὧν μὲν εἶ
φαίνει δίκαιος, δρῶν δ' ἐφευρίσκει κακά.
ΚΡ. ἐγὼ οὔτ' ἄνανδρον τήνδε τὴν πόλιν νέμων,

919. et 921—923. Nauckio suspecti. Versus fortasse spurii.

919. *καίτοι*] Praestat, ni fallor, *καὶ μήν*.

920. Spurium habet Nauck.

924. *οὔκουν* (*οὐκοῦν* L.) mss. Leg. *οὖ τἄν*.

926. *χθονὸς* mss. *πόλεως* Heims.

928. *ξένον* unus ms. *ξεῖνον* L. et cet. *ὡς* mss. Ne *πῶς* requirendum putes, cf. O. R. 543. 547. 562. 1172. Ph. 1336. Tr. 142. 625. etc.

930. *αὐτοῦ*] *αὑτοῦ* L. Cf. ad 853. *πληθύων* A. K. L. *πληθύνων* B. T. Cf. ad 377.

931. *τοῦ νοῦ* mss. *φρενῶν* conj. Nauck. Sic Ant. 754. *ὢν φρενῶν αὐτὸς κενός*. Sed cf. Fr. 843, 2. *τοῦ δὲ νοῦ κενός*. Sine articulo El. 403. *νοῦ — κενή*.

936. *τῷ νῷ* mss. *τοῦ νοῦ* Mein. *νοῶ* Hart. *φρονῶ* Schneid. Weckl. Qu. *νοῶν*.

939. *λέγω* L. *λέγων* cet. Lege *νέμων*. Et sic Schneid. Cf. Ant. 150. *σὲ δ' ἔγωγε νέμω θεόν*. O. R. 31.

ὦ τέκνον Αἰγέως, οὔτ' ἄβουλον, ὡς σὺ φῄς,
τοὔργον τόδ' ἐξέπραξα, γιγνώσκων δ' ὅτι
οὐδείς ποτ' αὐτοῖς τῶν ἐμῶν ἂν ἐμπέσοι
ζῆλος ξυναίμων ὥστ' ἐμοῦ τρέφειν βίᾳ.
ᾔδη δ' ὁθούνεκ' ἄνδρα καὶ πατροκτόνον
κἄναγνον οὐ δεξοίατ' οὐδ' ὅτῳ γάμοι
ξυνόντες ηὑρέθησαν ἀνόσιοι τοκέων.
τοιοῦτον αὐτοῖς Ἄρεος εὔβουλον πάγον
ἐγὼ ξυνῄδη χθόνιον ὄνθ', ὃς οὐκ ἐᾷ
τοιούσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει·
ᾧ πίστιν ἴσχων τήνδ' ἐχειρούμην ἄγραν.
καὶ ταῦτ' ἂν οὐκ ἔπρασσον, εἰ μή μοι πικρὰς
αὐτῷ τ' ἀρὰς ἠρᾶτο καὶ τὠμῷ γένει·
ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.
θυμοῦ γὰρ οὐδὲν γῆράς ἐστιν ἄλλο πλὴν
θανεῖν· θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται.

941. τοὔργον T. τοὖργον B. K. L. γιγνώσκων A. B. T. γινώσκων K. L.

942. αὐτοὺς L. et al. αὐτοῖς unus L b. Heath. Br. Quod recipiendum. V. Spicil. Soph. meum p. 218. ἀστοῖς Jacobs. Nihil opus. Cf. Aesch. Ag. 341. ἔρως — μή τις — ἐμπίπτῃ στρατῷ. Sed Eur. Iph. A. 809. οὕτω δεινὸς ἐμπέπτωκ' ἔρως | τῆσδε στρατείας Ἑλλάδ' οὐκ ἄνευ θεῶν. Ubi accusativus metri necessitate legitur.

944. ᾔιδη (sup. ν a m. rec.) L. ᾔδη A. B. ᾔδην K. ᾔδειν T. Cf. ad Ant. 18.

945. κἄναγνον A. κἄνανδρον B. K. L. T. Cf. O. R. 823. δεξαίατ' mss. δεξοίατ' Elmsl. Cf. ad O. R. 1268.

946. εὑρέθησαν mss. ηὑρέθησαν Dind. τέκνων mss. Suspectum Nauckio. τοκέων (disyllabum) recte Hart. Herw. ad O. R. 928. Cf. 978. μητρὸς — γάμους. O. R. 825. εἰ γάμοις με δεῖ | μητρὸς ζυγῆναι. O. C. 1361. σοῦ φονέως (dis.) μεμνημένῳ. Aesch. Pers. 63. τοκέες δ' ἄλοχοί θ' —.

948. ξυνῄδειν A. B. K. L. ξυνῄδη Br. χθόνιον mss. Corrigendum forsan 'γχωρον. Scholiasta per ἐγχώριον explicat.

951. οὐκ ἔπρασσον] Qu. οὐκ ἔδρων ἄν.

954. 955. Hos versus spurios habet Nauck. 954—959. Herw.

954. ἐστι γῆρας A. γῆράς ἐστιν L. et cet. ἐστιν ἄλλο γῆρας Suid. s. v. θυμός.

πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς, ἐπεὶ
ἐρημία με, κεἰ λέγω δίκαι' ὅμως,
σμικρὸν τίθησι· πρὸς δὲ σὰς πράξεις ὅμως
καὶ τηλικόσδ' ὢν ἀντιδρᾶν πειράσομαι.

ΟΙ. ὦ λῆμ' ἀναιδὲς, τοῦ καθυβρίζειν δοκεῖς,
πότερον ἐμοῦ γέροντος ἢ σαυτοῦ τόδε;
ὅστις φόνους μοι καὶ γάμους καὶ συμφορὰς
τοῦ σοῦ διῆκας στόματος, ἃς ἐγὼ τάλας
ἤνεγκον ἄκων· θεοῖς γὰρ ἦν οὕτω φίλον
τάχ' ἄν τι μηνίουσιν ἐς γένος πάλαι·
ἐπεὶ καθ' αὑτόν γ' οὐκ ἂν ἐξεύροις ἐμοὶ
ἁμαρτίας ὄνειδος οὐδὲν ἀνθ' ὅτου
τάδ' εἰς ἐμαυτὸν τοὺς ἐμούς θ' ἡμάρτανον.
ἐπεὶ δίδαξον, εἴ τι θέσφατον πατρὶ
χρησμοῖσιν ἱκνεῖθ' ὥστε πρὸς παίδων θανεῖν,
πῶς ἂν δικαίως τοῦτ' ὀνειδίζοις ἐμοὶ,
ὃς οὔτε βλάστας πω γενεθλίους πατρὸς,
οὐ μητρὸς, εἶχον, ἀλλ' ἀγέννητος τότ' ἦ;
εἰ δ' αὖ φανεὶς δύστηνος, ὡς ἐγὼ 'φάνην,
ἐς χεῖρας ἦλθον πατρὶ καὶ κατέκτανον
μηδὲν ξυνιεὶς ὧν ἔδρων εἰς οὕς τ' ἔδρων,
πῶς ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις;
μητρὸς δὲ, τλῆμον, οὐκ ἐπαισχύνει γάμους
οὔσης ὁμαίμου σῆς μ' ἀναγκάζων λέγειν

956. οἷον ἂν θέλῃς mss. Qu. οἷάπερ θέλεις.

957. κεἰ δίκαι' ὅμως λέγω mss. Lege κεἰ λέγω δίκαι' ὅμως. V. Spicil. Soph. ad h. l. κεἰ B. T. καὶ εἰ L.

960. ὦ λῆμ' ἀναιδὲς] Qu. ὦ θρέμμ' —.

965. εἰς L. ἐς Dind.

967. ὄνειδος mss. Qu. ὃν εἶδος, aut, ἂν εἶδος. Sed cf. 971. πῶς ἂν — τοῦτ' ὀνειδίζοις ἐμοὶ —.

972. πω K. πως B. πῶς A. L. T.

973. εἶχον A. K. L. ἔσχον B. T. ἦ L. ἦν cet.

975. ἐς B. L. εἰς K. T.

976. εἰς οὕς τ' ἔδρων mss. Qu. μήδ' ἐς τίνας.

977. πῶς γ' ἂν mss. πῶς ἂν Elmsl. τό γ' ἆκον A. B. L. corr. T. τό θ' ἆκον L. pr. τόδ' ἆκον K.

978. τλῆμον A. T. τλήμων B. K. L.

οἵους ἐρῶ τάχ'· οὐ γὰρ οὖν σιγήσομαι
σοῦ γ' ἐς τόδ' ἐξελθόντος ἀνόσιον στόμα.
ἔτικτε γάρ μ' ἔτικτεν, ὤμοι μοι κακῶν,
οὐκ εἰδότ' οὐκ εἰδυῖα, καὶ τεκοῦσά με
αὑτῆς ὄνειδος παῖδας ἐξέφυσέ μοι.
ἀλλ' ἓν γὰρ εὖ κάτοιδα, σὲ μὲν ἑκόντ' ἐμὲ
κείνην τε ταῦτα δυσστομεῖν, ἐγὼ δέ νιν
ἄκων ἔγημα φθέγγομαί τ' ἄκων τάδε.
ἀλλ' οὐ γὰρ οὔτ' ἐν τοῖσδ' ἁλώσομαι κακὸς
γάμοισιν οὔθ' οὓς αἰὲν ἐμφέρεις σύ μοι
φόνους πατρῴους ἐξονειδίζων πικρῶς.
ἓν γάρ μ' ἄμειψαι μοῦνον ὧν σ' ἀνιστορῶ.
εἴ τίς σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε
κτείνοι παραστάς, πότερα πυνθάνοι' ἂν εἰ
πατήρ σ' ὁ καίνων ἢ τίνοι' ἂν εὐθέως;
δοκῶ μέν, εἴπερ ζῆν φιλεῖς, τὸν αἴτιον
τίνοι' ἂν οὐδὲ τοὔνδικον περιβλέποις.
τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακὰ
θεῶν ἀγόντων, οἷς ἐγὼ οὐδὲ τὴν πατρὸς
ψυχὴν ἂν οἶμαι ζῶσαν ἀντειπεῖν ἔχειν.
σὺ δ', εἶ γὰρ οὐ δίκαιος, ἀλλ' ἅπαν καλὸν
λέγειν νομίζων ῥητὸν ἄρρητόν τ' ἔπος,
τοιαῦτ' ὀνειδίζεις με τῶνδ' ἐναντίον.
καί σοι τὸ Θησέως ὄνομα θωπεῦσαι καλὸν
καὶ τὰς Ἀθήνας, ὡς κατῴκηνται καλῶς·

981. εἰς mss. ἐς Dind.

984. αὐτῆς L.

985. ἀλλ' ἓν γὰρ οὖν κάτοιδα mss. Qu. ἀλλ' ἓν γὰρ εὖ κάτοιδα. Cf. 1615. ἀλλ' ἓν γὰρ μόνον | τὰ πάντα λύει —.

986. δυστομεῖν aut διστομεῖν mss. δυσστομεῖν Br.

988. ἀκούσομαι mss. ἁλώσομαι K. Walter. Quod recepi.

989. ἐμφέρεις (ο supr. ε a m. ant.) L. ἐμφέρεις A. ἐμφερεῖς K. T. ἐμφορεῖς B. Qu. ἐπιφέρεις (ingeris, cf. Eur. Or. 766. Arist. Ran. 1253. Herod. I. 68. Antiph. 134, 6. Thuc. I. 70.) aut ἐγκαλεῖς (cf. El. 778. ἐγκαλῶν δέ μοι | φόνους πατρῴους).

996. τίνοι' ἂν B. T. τίνοις ἂν K. L.?

998. οἷς mss. ὡς Reisk. ἐγὼ οὐδὲ recte A. B.

999. ἐμοί mss. ἔχειν Nauck. prob. Mein. Recte, opinor.

κἀϑ' ὧδ' ἐπαινῶν πολλὰ τοὖδ' ἐκλανϑάνει,
ὁϑούνεκ', εἴ τις γῆ ϑεοὺς ἐπίσταται
τιμαῖς σεβίζειν, ἥδε τῷδ' ὑπερφέρει,
ἀφ' ἧς σὺ κλέψας τὸν ἱκέτην γέροντ' ἐμὲ
αὐτόν τ' ἐχειροῦ τὰς κόρας τ' οἴχει λαβών.
ἀνϑ' ὧν ἐγὼ νῦν τάσδε τὰς ϑεὰς ἐμοὶ
καλῶν ἱκνοῦμαι χἄμ' ἐπισκήπτω λιταῖς
ἐλϑεῖν ἀρωγοὺς ξυμμάχους, ἵν' ἐκμάϑῃς
οἵων ὑπ' ἀνδρῶν ἥδε φρουρεῖται πόλις.
ΧΟ. ὁ ξεῖνος, ὦναξ, χρηστός, αἱ δὲ συμφοραὶ
αὐτοῦ πανώλεις ἄξιαί τ' ἀμυναϑεῖν.
ΘΗ. ἅλις λόγων, ὡς οἱ μὲν ἐξηρπασμένοι
σπεύδουσιν, ἡμεῖς δ' οἱ παϑόντες ἕσταμεν.
ΚΡ. τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν;
ΘΗ. ὁδοῦ κατάρχειν τῆς ἐκεῖσ', ὁμοῦ δ' ἐμὲ
χωρεῖν, ἵν', εἰ μὲν ἐν τόποισι τοῖσδ' ἔχεις
τὰς τοῦδε παῖδας, αὐτὸς ἐκδείξῃς ἐμοί.

1007. *τιμᾶς* L. pr. *τιμὰς* corr. *τιμὰς* A. K. T. *τιμαῖς* Turn. *τοῦδ'* B. K. L. T. *τοῦϑ'* al. *τῷδ'* Kunhardt. Recte. Cf. 381.

1010. *τὰς* add. T. om. B. K. L. *ἐμοὶ*] Hoc pendet ab *ἐλϑεῖν ἀρωγούς*.

1011. *καὶ κατασκήπτω λιταῖς* mss. Qu. *χἄμ' ἐπισκήπτω λιταῖς*. Cf. ad O. R. 1446. Nauckius, ejecto toto versu, *ἐλϑεῖν ἀρῶμαι ξυμμάχους* legit (in 1012.). Fortasse recte.

1012. *ξυμμάχους* A. *συμμάχους* B. K. L. T. *ϑ'* om. B. L. T. add. K. (sup. text.). Dind. Melius, opinor, aberit particula.

1014. *ἄξιαι δ'* mss. Lege *ἄξιαί τ'*.

1015. *ἀμυνάϑειν* mss. *ἀμυναϑεῖν* Elmsl.

1016. *ἐξηρπασμένοι* (*ην* pro *οι* corr. ab S.) L. *ἐξηρπασμένην* B. K. T. *ἐξειργασμένοι* F. G. Schmidt. Jebb. prob. Dind. Mein. Weckl. Mihi verum videtur *ἐξηρπασμένοι* (pro *ἐξηρπακότες* positum). Cf. El. 54. *ἠρμένοι*. Philem. IV. 48. *καινὰ ῥήματα | πεποριςμένος γάρ ἐστι*.

1018. *ποεῖν* L.

1019. *τῆς ἐκεῖ, πομπὸν* — mss. Correxi *τῆς ἐκεῖ σ' ὁμοῦ* —. Ferri non potest *τῆς ἐκεῖ* pro *τῆς ἐκεῖσε*. Facile *σ' ὁμοῦ* in *πομπὸν* transire poterat Creon *πομπός* est, non Theseus. *δέ με* vulg. Dedi *δ' ἐμέ*.

1021. *τὰς παῖδας ἡμῶν* mss. *τὰς παῖδας, ἡμῖν* Bergk. Suspectum Nauckio. *τὰς τοῦδε παῖδας* Dind. Quod recepi. Qu. *τὰς παῖδας, αὐτὰς* —.

εἰ δ' ἐγκρατεῖς σφ' ἄγουσιν, οὐδὲν δεῖ πονεῖν·
ἄλις γὰρ οἱ † σπεύδοντες, οὓς οὐ μή ποτε
χώρας φυγόντες τῆσδ' ἐπεύξωνται φίλοις.
ἀλλ' ἐξυφηγοῦ. γνῶθι δ' ὡς ἔχων ἔχει
καί σ' εἷλε θηρῶνθ' ἡ δίκη· τὰ γὰρ δόλῳ
καὶ μὴ δίκῃ κεκτημέν' οὐχὶ σῴζεται.
κοὐκ ἄλλον ἕξεις ἐς τόδ', ὡς ἔξοιδά σε

1022. *φεύγουσιν* mss. (*σφ'*) *ἄγουσιν* Cl. Otto. Recte, opinor. *οὐδὲν δεῖ πονεῖν*] Ante finalem creticum, quia arcte haec cohaerent. Cf. Eur. Herc. 1338. *θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων.*

1023. *ἄλλοι* mss. *ἄλις* conj. Nauck. Recte. *οἱ σπεύδοντες* mss. Qu. *οἷς μέλει τόδ'* (cf. Ant. 1335. *μέλει γὰρ τῶνδ' ὅτοισι χρὴ μέλειν*), aut *οἱ σώσοντες*. Futurum aliquid requiri videtur. Sed cf. 897—903. praecipue 900. *σπεύδειν ἀπὸ ῥυτῆρος*. 1017. *οἱ μὲν ἐξηρπασμένοι | σπεύδουσιν*. *οὓς οὐ μή ποτε | χώρας φυγόντες τῆσδ' ἐπεύξωνται θεοῖς*] Sic fere mss. "Cf. Eur. Suppl. 148. *Τυδεὺς μὲν αἷμα συγγενὲς φεύγων χθονός.* Or. 1506. *πέφευγε τοὐμὸν ἐκ δόμων ξίφος.*" (Jebb). Qu. *τῆσδ' ἐκ χθονὸς φυγόντες εὔξωνται θεοῖς.* Aut *ὧν οὐ μή ποτε | χεῖρας φυγόντες τῆσδ' ἐπεύξωνται χθονός.* (Causa corruptelae fuerit *χεῖρας* pro *χώρας* acceptum. Cf. El. 601. *χεῖρα σὴν μόλις φυγών.* Adesp. 148. *ἦ γὰρ βέβηκε χεῖρας ἀρτάμων φυγών.*) Aut *ὧν* — | *χώραν φυγόντες τήνδ' ἀλύξωσιν χέρας.* Aut *ὧν οὐ μή ποτε | χεῖρας φυγόντες ἐξεπεύξωνται θεοῖς.* (Cf. Ph. 668. *κἀξεπεύξασθαι βροτῶν | ἀρετῆς ἕκατι τῶνδε προσψαῦσαι μόνον.*) Sed *θεοῖς* vitiosum videtur. Correxi *φίλοις*. Locus nondum emendatus.

1024. *ἐπεύχονται* L. et (sup. *ξ*) K. *ἐπεύχωνται* (sup. *ξ*) B. T. *θεοῖς* mss. Absurdum hoc videtur. Correxi *φίλοις*. Corruptelae causa fuerit male intellectum *ἐπεύξωνται*.

1025. *ἀλλ' ἐξυφηγοῦ* mss. *ἀλλ' εἶ' ὑφηγοῦ* conj. Bl. Cf. Ion. trag. 22. *ἀλλ' εἶα — τὸν ξένον κοσμήσατε.* *ἐξυφηγοῦ*] Sic *ἐξυπηρετεῖν* Tr. 1156.

1026. *εἷλε θηρῶντ'* mss. *εἷλεν αἱροῦνθ'* Mein. Fortasse recte. Cf. 1025. *γνῶθι δ' ὡς ἔχων ἔχει.* *τύχη* mss. *δίκη* Doederlein. Nauck. Cf. El. 528. *ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη.* Eur. Her. 941. *εἷλέ σ' ἡ Δίκη χρόνῳ.*

1027. *τῷ μὴ δικαίῳ κτήματ'* mss. Lege *καὶ μὴ δίκῃ κεκτημέν'*. Causa corruptelae fuit *κεκτημέν'* in *κτημέν'* et postea in *κτήματ'* mutatum. Vulgata lectio defendi nequit. *σῴζεται* L., ut solet.

1028. *κοὐκ ἄλλον ἕξεις εἰς τάδ'* (*τόδ'* al.) mss. Verba Nauckio

οὐ ψιλὸν οὐδ' ἄσκευον ἐς τοσήνδ' ὕβριν
ἥκοντα τόλμης τῆς παρεστώσης τανῦν.
ἀλλ' ἔσθ' ὅτῳ σὺ πιστὸς ὢν ἔδρας τάδε.
ἃ δεῖ μ' ἀθρῆσαι μηδὲ τήνδε τὴν πόλιν
ἑνὸς ποιῆσαι φωτὸς ἀσθενεστέραν.
νοεῖς τι τούτων ἢ μάτην τὰ νῦν τέ σοι
δοκεῖ λελέχθαι χὤτε ταῦτ' ἐμηχανῶ;
ΚΡ. οὐδὲν σὺ μεμπτὸν ἐνθάδ' ὄντ' ἐρεῖς ἐμέ,
οἴκοι δὲ χἠμεῖς εἰσόμεσθ' ἃ χρὴ ποιεῖν.
ΘΗ. χωρῶν ἀπείλει νῦν· σὺ δ' ἡμίν, Οἰδίπους,
ἕκηλος αὐτοῦ μίμνε πιστωθεὶς ὅτι,
ἢν μὴ θάνω 'γὼ πρόσθεν, οὐχὶ παύσομαι
πρὶν ἄν σε τῶν σῶν κύριον στήσω τέκνων.

suspecta. Ipse propono *κοὺ* (aut *οὐ*) *ψιλὸς ἥκεις ἐνθάδ'*, quod saltem bonum sensum praebet et cum contextu bene congruit. *ἥκεις* in *ἕξεις* corrupto nominativus in accusativum necessario mutandus erat. Qu. *κοὺ μοῦνος* (aut *κοὐκ οἶος*) *ἥκεις ἐνθάδ'* —. *ἕξεις*] Sc. *ὡς ἀρωγόν*. Jebbius apte confert Andoc. Or. I. § 63. *ἕξεις ἡμᾶς ἐπιτηδείους*. Et fortasse recta est ejus loci hujus interpretatio. *ἐς τόδ'*] Ad hanc rem. Anglice for this purpose. Cf. 507. *χωροῖμ' ἂν ἐς τόδ'*. Qu. *ἐνθάδ'*. *εἰς* mss. *ἐς* Dind. *τάδ'* L. al. *τόδ'* A.

1030. *τὰ νῦν* (sic) L.

1031. *πιστὸς*] Nonne *πίσυνος*? Herod. VII. 85. *ταύτῃσι πίσυνοι ἔρχονται ἐς πόλεμον*. 153. Eur. Or. 903. *θορύβῳ πίσυνος*. Suppl. 121.

1033. *ποῆσαι* L., ut solet.

1034. Cf. 824. *χώρει — οὔτε γὰρ τὰ νῦν | δίκαια πράσσεις οὔθ' ἃ πρόσθεν εἰργάσω*.

1035. *χὤτε ταῦτ' ἐμηχανῶ*] Et quando haec moliebaris. Sc. in 829 sq. Concise positum pro *καὶ ἃ ἐλέχθη* (sc a Choro) *ὅτε* —.

1036. *ὢν — ἐμοὶ* mss. *ὄντ' — ἐμὲ* conj. Bl. Quod recipiendum esse ostendit quod proxime sequitur oppositum *οἴκοι δὲ*, quae ambo ad eandem personam spectant. Praeterea sensus requirit accusativum, nihil a me reprehendendum hic dices. Sensus loci hic est, Objurga me quantum vis, non te reprehendam quamdiu hic sum, domi autem etc. Anglice, I shall not resent anything you may say here. Emphasis ponenda est in *ἐνθάδ' ὄντα*. Qu. *οὐ μεμπτὸν οὐδὲν ἐνθάδ' ὢν ἐρῶ σ' ἐγώ*. Cf. Arist. Ach. 580. *τί δ' εἶπας ἡμᾶς;* 558. Vulgatam frustra, opinor, tuetur Jebb. *μεμπτὸς* Madvig. *ὄντ'* Weckl.

ΟΙ. ὄναιο, Θησεῦ, τοῦ τε γενναίου τρόπου
καὶ τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας.

στρ. ά.

ΧΟ. εἴην ὅθι δαΐων
ἀνδρῶν τάχ' ἐπιστροφαὶ
τὸν χαλκοβόαν Ἄρη
μίξουσιν ἢ πρὸς Πυθίαις
ἢ λαμπάσιν ἀκταῖς,
οὗ πότνιαι σεμνὰ τιθηνοῦνται τέλη
θνατοῖσιν, ὧν ἃ χρυσέα
κλῄς ἐπὶ γλώσσᾳ βέβακε προσπόλων Εὐμολπιδᾶν·
ἔνθ' οἶμαι τὸν ὀρειβάταν
Θησεΐδαν τὰς διστόλους
ἀδμῆτας ἀδελφὰς
αὐτάρκει τάχ' ἀνσώσειν βοᾷ
τούσδ' ἀνὰ χώρους·

ἀντ. ά.

ἢ που τάχ' ἐφ' ἕσπερον

1042. τρόπου mss. χάριν Bl. τρόπου glossema esse videtur. Cf. 569. τὸ τὸν γενναῖον. O. R. 644. μή νυν ὀναίμην, ἀλλ' ἀραῖος — ὀλοίμην κτλ. Eur. Or. 1677. Iph. A. 1088. Hel. 646. 1418.

1044. ὅθι] Qu. ἵνα. Cf. ad El. 709. στάντες δ' ὅθ' (ἵν'?) αὐτοὺς —. 1045. τάχ' ἐπιστροφαὶ] τάχα συστροφαὶ conj. Nauck.

1049. σεμναὶ mss. σεμνὰ Valck. τιθηνοῦνται] Nauckio suspectum. Sed cf. 680. Διόνυσος — θείαις ἀμφιπολῶν τιθήναις. Simonid. Fr. 150, 7. εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὄπα Δωρίοις Ἀρίστων Ἀργεῖος. 1051. καὶ mss. Correxi ἅ.

1054. ἐγρεμάχαν L. ὀρειβάταν aut ὀρειοβάταν (γρ. apud schol.) al. Cf. 1065. δεινὸς ὁ προσχώρων ἄρης. Qu. ὀρειμάχαν. Quum etiam versus antistrophicus 1069 vitio laboret, emendatio hujus loci admodum incerta est.

1055. Θησέα καὶ mss. ῥυσόμενον Halm., ut Θησέα glossema sit. Dedi Θησεΐδαν. Cf. 1066. δεινὰ δὲ Θησειδᾶν (i. e. Atticorum) ἀκμά. καὶ τὰς mss. παῖδας Weckl.

1056. ἀδελφεὰς A. B. K. et L. corr. ab S. ἀδελφὰς T.

1057. αὐτάρκει — βοᾷ] Verba Nauckio suspecta. τάχ' ἐμμίξειν mss. Vitiosum. Qu. μάχαν μίξειν (Anglice, will engage in battle, cf. 1047. ἄρη μίξουσιν), aut potius τάχ' ἀνσώσειν. Cf. ad 1076.

1059. ἤ που mss. ἦ που Steph. Herm. Dind. τὸν mss. Lege

πέτρας νιφάδος πελῶσ'
Οἰάτιδος ἐς νομὸν
πώλοισιν ἢ ῥιμφαρμάτοις
φεύγοντες ἁμίλλαις.
ἁλώσεται· δεινὸς ὁ προσχώρων ἄρης,
δεινὰ δὲ Θησειδᾶν ἀκμά.
πᾶς γὰρ ἀστράπτει χαλινὸς, πᾶσα δ' ὁρμᾶται χαλῶσ'
ἀμπυκτήρια πωλικὰ
ἄμβασις, οἳ τὰν ἱππίαν
τιμῶσιν Ἀθάναν
καὶ τὸν πόντιον γαιάοχον
Ῥέας φίλον υἱόν.

στρ. β'.

ἔρδουσιν ἢ μέλλουσιν; ὡς
προμνᾶταί γε μοι

τάχ'. Cf. 1076. et ad 1089. *ἐφέσπερον* L. pr. m. et vulg. *ἐφ' ἕσπερον* L. corr. sec. m. (schol. in marg. *τὸν ἕσπερον*). Qu. *ἤ που* (*'ς*) *τὸν* —. Cf. 1761. *πελάζειν ἐς τούσδε τόπους*. Eur. Iph. T. 1212. *εἰς ὄψιν πελάζειν*. Sed Andr. 1168. *δῶμα πελάζει*.

1060. *νιφάδος* mss. *λιχάδος* conj. Mein., coll. Hesych. *λιχάς*: (*πέτρα*) *ἀπότομος*. Ovid. Met. 9, 226. 'Lichas scopulus brevis etc. et insularum nomine *Λιχάδες* (Strab. I. p. 60. etc.). Qu. *λίθακος*. Hom. Od. 5, 415. *λίθακι* (*λιχάδι*?) *ποτὶ πέτρῃ*. Cf. O. R. 473. *τοῦ νιφόεντος — Παρνασσοῦ*. Eur. Andr. 1129. *πυκνῇ νιφάδι πάντοθεν σποδούμενος*. 534. *λισσάδες πέτρας*. Herc. 1148. *πελῶσ'* mss. *περῶσ'* Hart. *πελάσουσι* Elmsl. Forma *πελᾶν* Attici non utebantur.

1061. *ἐκ νομοῦ* mss. *εἰς νομὸν* Hart. Nauck. Weckl. Jebb.

1065. *ἁλώσεται*] Sc. Creon. *ἔσται καλῶς* conj. Nauck.

1066. *ἀκμά*] Qu. *μάχα*, aut *δεινὸς δὲ Θησειδᾶν ἄρης*.

1068. *κατ'* mss. *χαλῶσ'* Herm. Mekler. *καθεῖσ'* Schn. *ἀμπυκτήρια φάλαρα πώλων* mss. *ἀμπυκτήρια πωλικὰ* (i. e. *πωλικὴ*) Herm. Mein. (Si *πώλων* legamus, metrum erit i. q. 1049. 1056. 1064. 1071.). Cf. Eur. Suppl. 586. *μοναμπύκων τε φάλαρα κινεῖσθαι στόμα* | *ἀφρῷ καταστάζοντα*. 680. *μοναμπύκων ἄναξ*. Alc. 430. *μονάμπυκας πώλους*. Hesychius *ἀμπυκτήρια* per *τὰ φάλαρα* explicat. Connecte *πωλικὰ ἄμβασις* (i. e. *ἀναβάται πώλων*).

1074. *ἔρδουσιν* mss. *ἔρδουσ'* Steinhart. Mein. Nauck. Jebb. *αἱροῦσ'* Bücheler. *ἢ* mss. *οὐ* K. Walter. *μέλλουσιν* mss. *μέλλουσ'* Herm. Dind.

1075. *ὡς προμνᾶταί τί μοι* mss. Delendum videtur aut *ὡς* aut *τι*. Pro *τι* qu. *γε*.

γνώμα τάχ' ἀνσώσειν
τὼ δεινὰ τλάσα, δεινὰ δ' εὑροῦσα πρὸς αὐθαί-
μων πάθη.
τελεῖ τελεῖ Ζεύς τι κατ' ἆμαρ.
μάντις εἴμ' ἐσθλῶν ἀγώνων.
εἴθ' ἀελλαία ταχύρρωστος πελειὰς
αἰθερίας νεφέλας κύρσαιμι, τῶνδ' ἀγώνων
θέας πλήσουσα τοὐμὸν ὄμμα.

ἀντ. β΄.

ἰὼ θεῶν παντάρχα παντ-

1076. ἂν δώσειν mss. ἀνδωσειν (sic) lemma schol. in L. ἀνδώσειν Musgr. Pal. ἐνδώσειν (ex schol.) Reisk. Elmsl. Mein. εὔσοιαν Halm. ἀντάσειν (i. e. will face, come in contact with) Bücheler. Jebb. Qu. ἀνσώσειν (recuperaturos eos esse), aut τάχα σφ' ἄξειν. Cf. ad 1057.

1077. τὰν — τλᾶσαν — εὑροῦσαν mss. τᾶν — τλασᾶν — εὑρουσᾶν schol. Qu. τὼ δεινὰ τλάσα, δεινὰ δ' εὑρούσα —. Pluralis tamen est 1055. τὰς — ἀδελφάς.

1078. αὐθομαίμων mss. αὐθαίμων Both. Nauck. Dind.

1082. αἰθερίας νεφέλας] Fort. αἰθεριᾶν νεφελᾶν. νεφέλας] ἀφ' ἕδρας Badham. Dind. Cf. Eur. Phoen. 166. ἀνεμώκεος εἴθε δρόμον νεφέλας ποσὶν ἐξανύσαιμι.

1083. κύρσαιμ', αὐτῶν δ' mss. κύρσαιμι τῶνδ' Wund. Dind. Mein. τῶνδ' ἀγώνων θεωρήσασα mss. Qu. τόνδ' ἀγῶν' ὡς θεωρήσειε.

1084. θεωρήσασα mss. ἑωρήσασα (?) Wund. Dind. θέᾳ πλήσασα Hartung. θέᾳ τέρψουσα conj. Nauck. et Schenkl. Lege θέας πλήσουσα. Anglice to feast my eye on a sight of these struggles. Cf. Eur. Iph. 233. ὄψιν ὀμμάτων πλήσαιμι. Adesp. 458, 7. τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν. Aesch. Pr. 302. ἢ θεωρήσων τύχας | ἐμὰς ἀφῖξαι; Theocr. 26, 10. Πενθεὺς δ' ἀλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει. Eur. Andr. 1087. θέᾳ διδόντες ὄμματ' ἐξεπίμπλαμεν. Ion. 925. οὔτοι σὸν βλέπων | ἐμπίμπλαμαι πρόσωπον. Plat. Resp. IV. 439 E. ἐμπλήσθητι τοῦ καλοῦ θεάματος.

1085. ἰὼ Ζεῦ πάνταρχε θεῶν mss. ἰὼ θεῶν πάνταρχε Jebb. πάνταρχε mss. Dedi παντάρχα. Cf. Arist. Av. 1058. τῷ παντόπτᾳ καὶ παντάρχᾳ — θύσουσι. Monosyllabum hic est θεῶν.

όπτα Ζεῦ, πόροις
γᾶς τᾶσδε δαμούχοις
σθένει 'πινικείῳ τάχ' εὔαγρον τελειῶσαι λόχον,
σεμνά τε παῖς Παλλὰς Ἀθάνα.
καὶ τὸν ἀγρευτὰν Ἀπόλλω
καὶ κασιγνήταν πυκνοστίκτων ὀπαδὸν
ὠκυπόδων ἐλάφων στέργω διπλᾶς ἀρωγοὺς
μολεῖν γᾷ τᾷδε καὶ πολίταις.
ὦ ξεῖν' ἀλῆτα, τὸν σκοπὸν μὲν οὐκ ἐρεῖς
ὡς ψευδόμαντις· τὰς κόρας γὰρ εἰσορῶ
τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας.
ΟΙ. ποῦ ποῦ; τί φής; πῶς εἶπας; ΑΝ. ὦ πάτερ πάτερ.
τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν
δοίη, τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι;
ΟΙ. ὦ τέκνον, ἦ πάρεστον; ΑΝ. αἵδε γὰρ χέρες

1086. *παντόπτα Ζεῦ*] *Ζεῦ* (ante *πάνταρχε* in mss.) huc transposuit Herm. Cf. Arist. Ach. 435. *ὦ Ζεῦ διόπτα καὶ κατόπτα πανταχῇ.* Aesch. Fr. 192, 5. *ὁ παντόπτας ἥλιος.* *πανόπτα* conj. Nauck.

1088. *ἐπινικείῳ σθένει* L. K. *ἐπινικίῳ σθένει* A. B. T. *σθένει 'πινικείῳ* Herm. Dind., coll. Tr. 186. *ἥξειν φανέντα σὺν κράτει νικηφόρῳ.* 497. *μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται νίκας ἀεί.* Suspecta est forma *ἐπινίκειος.* *σθένει*] Fort. *κράτει.* Cf. El. 85. *ταῦτα φέρει νίκην τ' — καὶ κράτος.* *τὸν εὔαγρον τελειῶσαι λόχον*] Offendit articulus. Corrigendum, ni fallor, *τάχ'* —. Cf. 1076. et ad 1059.

1094. *στέργω*] Obsecro. *διπλᾶς ἀρωγὰς* mss. Lege *διπλᾶς ἀρωγοὺς* (Weckl.), aut saltem *διπλᾶν ἀρωγάν.* Utriusque generis est *ἀρωγός* (cf. 1010. El. 454. Aesch. Eum. 279.).

1096. *τῷ σκοπῷ* mss. *τὸν σκοπὸν* Elmsl. Dind. Mein. Recte. Cf. El. 984. 520. Arist. Av. 167. et ad Av. 1441. *μὲν*] *νῦν* Heims. Qu. *γοῦν* aut *τόνδ'.*

1098 sq.. *τὼ κόρα γὰρ εἰσορῶ | τώδ' ἆσσον αὖθις ὧδε προσστείχοντε νῷν* conj. Nauck. Nescio an recte: cf. 1077. *αὖθις*] Fort. *ἡμῶν.* *προσπολουμένας*] *πρός σ' ὁρμωμένας* Weckl. *πρός σ' ἱκνουμένας* O. Hense. Cf. Aesch. Pr. 666. *ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολούμεναι* (*πωλ.?*) —. Lys. p. 216. *ὅσαι δὲ πεφασμένως πωλοῦνται* (i. e. *βαδίζουσι,* ut ipse Lysias interpretatur). Cf. v. *στρωφᾶσθαι* (Soph. Fr. 682. Eur. Alc. 1055. Herod. 8, 135.). Attamen *περιποτᾶται* est O. R. 488.

Θησέως ἔσωσαν φιλτάτων τ' ὀπαόνων.
OI. προσέλθετ', ὦ παῖ, πατρὶ καὶ τὸ μηδαμὰ
ἐλπισθὲν ἥξειν σῶμα βαστάσαι δότε.
AN. αἰτεῖς ἃ τεύξει· σὺν πόθῳ γὰρ ἡ χάρις.
OI. ποῦ δῆτα, ποῦ 'στόν; AN. αἵδ' ὁμοῦ πελάζομεν.
OI. ὦ φίλτατ' ἔρνη. AN. τοῖς τεκοῦσι πᾶν φίλον.
OI. ὦ σκῆπτρα φωτὸς — AN. δυσμόρου γε δύσμορα.
OI. ἔχω τὰ φίλτατ' οὐδ' ἔτ' ἂν πανάθλιος
τὰ νῦν ἂν εἴην σφῷν παρεστώσαιν ἐμοί.
ἐρείσατ', ὦ παῖ, πλευρὸν ἀμφιδέξιον
ἐμφύντε τῷ φύσαντι κἀναπαύσατον
τοῦ πρόσθ' ἐρήμου τοῦδε δυστήνου πλάνου,
καί μοι τὰ πραχθέντ' εἴπαθ' ὡς βράχιστ', ἐπεὶ
τοῖς τηλικοῖσδε σμικρὸς ἐξαρκεῖ λόγος.
AN. ὅδ' ἔσθ' ὁ σώσας· τοῦδε χρὴ κλύειν, πάτερ,
οὗ κἄστι τοὔργον τοὐμὸν ὧδ' ἔσται βραχύ.

1104. *μηδαμὰ* B. *μηδαμᾶ* A. K. L. T. *μηδαμῇ* Dind., qui formis *μηδαμά* et *οὐδαμά* non usos esse poetas nisi ubi metrum postularet monet. Qu. *μηδαμῶς*, ut in 278.

1108. *τῷ τεκόντι* mss. Dedi *τοῖς τεκοῦσι*. Cf. 508. *τοῖς τεκοῦσι*. O. R. 1176. Aesch. Cho. 690. *τὸν τεκόντα δ'* (l. *τοὺς τεκόντας*) *εἰκὸς εἰδέναι*.

1109. *τε* mss. *γε* Reisk.

1111. *θανὼν* mss. *τὰ νῦν* Bl. *θάνοιμ' ἂν ἤδη* F. W. Schmidt. Qu. *οὐδ' ὧς*, aut *γέρων*. *παρεστώσαιν*] *παρεστώτοιν* conj. Dind. Mein.

1112. *ἀμφιδεξιὸν* (sic) L. *ἀμφὶ δεξιὸν* al. *ἀμφιδέξιον* Mudge. *ἀμφιδέξιοι* Madvig. Qu. *ἀμφιδεξίῳ*.

1113. *ἐμφύτε* L. pr. *ἐμφῦσα* L. corr. (addito ab S. gl. *ἀντὶ τοῦ ἐμφῦσαι*.) *ἐμφῦτε* A. *ἐμφῦσα* al. *ἐμφύντε* Mudge. Cf. 1676. *ἰδόντε καὶ παθούσα*. 1601. 1608. *κἀναπαύσατον*] Sub. *αὐτόν*. Cf. El. 873. Ph. 878. Hom. Il. 17, 560. *ἔργων ἀνθρώπους ἀνέπαυσεν*. Eur. Fr. 912, 13. *εὑρεῖν μόχθων ἀνάπαυλαν*.

1114. *τοῦ τε δυστήνου* A. B. K. L. corr. *τοῦδε* (sup. *τ*) T. *τόνδε δύστηνον* Herw.

1116. *ταῖς τηλικαῖσδε* mss. *τοῖς τηλικοῖσδε* conj. Nauck. Recte, opinor. Cf. Ant. 726. *οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ —;* Ubi loquitur Creon. Fort. *ταῖσδ' ἐν τύχαισι*.

1118. *καὶ σοί τε τοὔργον τοὐμὸν ἔσται βραχύ* L. et sic fere cet. mss. Dind. *οὗ κἄστι* — Wex. Hart. Nauck. Jebb. *τοὔργον τοῦτ'*

ΟΙ. ὦ ξεῖνε, μὴ ϑαύμαζε, πρὸς τὸ λιπαρὲς
τέκν' εἰ φανέντ' ἄελπτα μηκύνω λόγον.
ἐπίσταμαι γὰρ τήνδε τὴν ἐς τάσδε μοι
τέρψιν παρ' ἄλλου μηδενὸς πεφασμένην.
σὺ γάρ νιν ἐξέσωσας, οὐκ ἄλλος βροτῶν,
καί σοι ϑεοὶ πόροιεν οἷ' ἐγὼ ϑέλω
αὐτῷ τε καὶ γῇ τῇδ', ἐπεὶ τό γ' εὐσεβὲς
μόνοις παρ' ὑμῖν ηὗρον ἀνϑρώπων ἐγὼ
καὶ τοὐπιεικὲς καὶ τὸ μὴ ψευδοστομεῖν.
εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε·
ἔχω γὰρ ἅχω διὰ σὲ κοὐκ ἄλλον βροτῶν·
καί μοι χέρ', ὦναξ, δεξιὰν ὄρεξον, ὡς
ψαύσω φιλήσω τ', εἰ ϑέμις, τὸ σὸν κάρα.
καίτοι τί φωνῶ; πῶς σ' ἂν ἄϑλιος γεγὼς

ἔσται mss. τοὔργον τοῦτ' ἐμοί τ' ἔσται Herm. τοὔργον τοῦτο νῷν τ' ἔσται R. Ellis. τοὔργον τοὐμὸν ὧδ' — Wex. οὗ κἄστι τοὔργον τοὐμὸν ὧδ' ἔσται βραχύ Spengel. Jebb. Cf. Ph. 1304. ἀλλ' οὔτ' ἐμοὶ τοῦτ' ἐστὶν οὔτε σοὶ καλόν. τοὔργον B. K. L. τοὖργον T.

1119. μὴ ϑαύμαζε πρὸς τὸ λιπαρὲς mss. Θαυμάζειν πρός τι dictum ut φοβεῖσϑαι πρός τι Tr. 1211. O. R. 980. Nonnulli (Elmsl. Dind. Jebb.) sic interpungunt, μὴ ϑαύμαζε, πρὸς τὸ λιπαρὲς | τέκν' —. Recte, opinor. Cf. El. 464. πρὸς εὐσέβειαν (i. e. εὐσεβῶς) ἡ κόρη λέγει. Olim corrigendum suspicabar aut μὴ ϑαύμαζέ μου τὸ λιπαρὲς, —, aut potius πρὸς τὰ φίλτατα | τέκν' —. Ita omnia plana fierent.

1120. ἄελπτα] Adverbialiter positum.

1121. σὴν mss. τὴν Musgr.

1124. πόροιεν A. B. T. πορεῖεν L. unde παρεῖεν Mein. ὡς mss. Lege οἷ'. Et sic Hart. Cf. Ph. 275. 509. Eur. Hel. 1405. ϑεοὶ δὲ σοί τε δοῖεν οἷ' ἐγὼ ϑέλω. El. 334. οἷ' αὐτοῖς φρονῶ. Arist. Ach. 446. εὐδαιμονοίης, Τηλέφῳ δ' ἁγὼ φρονῶ.

1126. εὗρον mss. ηὗρον Dind.

1128. ἀμύνω — τάδε] Haec remuneror. Anglice I requite. Cf. Ph. 602. ἔργ' πρὸς ἀμύνουσιν κακά (οἱ ϑεοί). Qu. εἰδὼς δὲ τοῖσδε τοῖς λόγοις ἀμύνομαι.

1129. Qu. διά σέ γ', οὐκ —. Cf. 1123. Ph. 977. Eur. Hipp. 395.

1131. τ' ἢ ϑέμις L. ϑ' ἢ ϑέμις B. T. τ' η (sup. ει) ϑέμις K. τ', εἰ ϑέμις Mein.

1132. πῶς δ' ἂν ἄϑλιος γεγὼς mss. πῶς σ' ἂν — Herm. Dind. πῶς ἂν ἁγνὸν ὄντα σε conj. Dind. Qu. ἐσϑλὸς φὺς ἐγὼ —.

θιγεῖν θελήσαιμ' ἀνδρὸς ᾧ τίς οὐκ ἔνι
κηλὶς κακῶν ξύνοικος; οὐκ ἔγωγέ σε,
οὐδ' οὖν ἐάσω, τοῖς γὰρ ἐμπείροις κακῶν
μόνοις οἷόν τε συνταλαιπωρεῖν τάδε.
σὺ δ' αὐτόθεν μοι χαῖρε καὶ τὰ λοιπά μου
μέλου δικαίως ὥσπερ ἐς τήνδ' ἡμέραν.
ΘΗ. οὔτ' εἴ τι μῆκος τῶν λόγων ἔθου πλέον
τέκνοισι τερφθεὶς τοῖσδε, θαυμάσας ἔχω,
οὔτ' εἰ πρὸ τοὐμοῦ προὔλαβες τὰ τῶνδ' ἔπη·
βάρος γὰρ ἡμᾶς οὐδὲν ἐκ τούτων ἔχει.
οὐ γὰρ λόγοισι τὸν βίον σπουδάζομεν
λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις.
δείκνυμι δ'· ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην
οὐδέν σε, πρέσβυ· τάσδε γὰρ πάρειμ' ἄγων
ζώσας, ἀκραιφνεῖς τῶν κατηπειλημένων.
χὤπως μὲν ἁγὼν ἡρέθη τί δεῖ μάτην
κομπεῖν, ἅ γ' εἴσει καὐτὸς ἐκ ταύταιν ξυνών;
λόγος δ' ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
στείχοντι δεῦρο, συμβαλοῦ γνώμην, ἐπεὶ

1134. Qu. *οὐδ' οὖν (σ') ἐάσω —.*

1135. *τοῖς γὰρ ἐμπείροις βροτῶν* mss. *τοῖς γὰρ ἐν γένει βροτῶν* T. Halbertsma. Fortasse recte. *βροτῶν* mss. *κακῶν* conj. Nauck. Wecklein. Cf. Ant. 1191. *κακῶν — οὐκ ἄπειρος οὖσα.* O. C. 752. O. R. 44. 1136. *τάδε* mss. *κακά* conj. Nauck.

1138. *ἐς τόδ' ἡμέρας* mss. Locutio non alibi reperta. Dedi *ἐς τήνδ' ἡμέραν.* Sic *ἐν τῇδ' ἡμέρᾳ*, etc.

1141. *οὐδ'* mss. *οὔτ'* Elmsl.

1142. Suspectus Nauckio. *τούτων*] Fort. *τούτοιν.* Cf. ad 1149.

1144. *ποεῖσθαι* L., ut solet.

1145. *οὐκ ἐψευσάμην*] Qu. *οὐκ ἔψευσά πω.* Cf. 1509. *καί σ' ἅπερ ξυνήνεσα | θέλω — μὴ ψεύσας θανεῖν.*

1148. *ἀγὼν οὗτος* mss. *ἁγὼν* Heath. *αἱρῶν* conj. Mein. Jebb. *ἡρέθη*] *διεκρίθη* Naber.

1149. *ταύταιν* mss. *τούτοιν* Nauck. Cf. ad O. R. 1504.

1151. *ξυμβαλοῦ γνώμην*] Sententiam tuam contribue. Herod. 8, 61. *πόλιν — τὸν Θεμιστοκλέα παρεχόμενον οὕτω ἐκέλευε γνώμας συμβαλέσθαι.* Plat. Polit. 298 C. *ἐξεῖναι δὲ καὶ τῶν ἰδιωτῶν — περί τε πλοῦ καὶ περὶ νόσων γνώμην ξυμβαλέσθαι.*

σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.
πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεών.
ΟΙ. τί δ' ἐστὶ, τέκνον Αἰγέως; δίδασκέ με
ὡς μὴ εἰδότ' αὐτὸν μηδὲν ὧν σὺ νῦν λέγεις.
ΘΗ. φασίν τιν' ἡμῖν ἄνδρα σοὶ μὲν ὁμόπολιν
οὐκ ὄντα, συγγενῆ δὲ, προσπεσόντα πως
βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος, παρ' ᾧ
θύων ἔκυρον ἡνίχ' ὡρμώμην ἐγώ.
ΟΙ. ποδαπόν; τί προσχρῄζοντα τῷ θακήματι;
ΘΗ. οὐκ οἶδα πλὴν ἕν· σοῦ γὰρ, ὡς λέγουσί μοι,
βραχύν τιν' αἰτεῖ μῦθον οὐκ ὄγκου πλέων.
ΟΙ. ποῖόν τιν'; οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου.
ΘΗ. σοὶ φασὶν αὐτὸν ἐς λόγους ἐλθεῖν μόνον
αἰτεῖν ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ.
ΟΙ. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν;
ΘΗ. ὅρα κατ' Ἄργος εἴ τις ὑμὶν ἐγγενὴς
ἔσθ' ὅστις ἄν σου τοῦτο προςχρῄζοι τυχεῖν.
ΟΙ. ὦ φίλτατε, σχὲς οὔπερ εἶ. ΘΗ. τί δ' ἐστί σοι;
ΟΙ. μή μου δεηθῇς. ΘΗ. πράγματος ποίου; λέγε.

1153. ἀνθρώπων mss. ἄνθρωπον correctum ex schol.

1155. πυνθάνει] Suspectum Nauckio. Dedi νῦν λέγεις.

1156. σοὶ μὲν ἔμπολιν mss. Vix sanum. σοί γ' ὁμόπτολιν Nauck. σοὶ μὲν σύμπολιν conj. Herw. Cf. Ant. 733. οὔ φησι Θήβης τῆσδ' (τοὔθ'?) ὁμόπτολις πόλις. Quod si recte se habet ἔμπολιν, cf. 637. χώρᾳ δ' ἔμπολιν κατοικιῶ (αὐτόν). Sic ἔνοικος (O. R. 1524.), ἔντοπος, ἔνδημος, ἔγχωρος, ἐγγενής, ἔγγαιος. et praeterea δικαιόπολις, ἄπολις. Qu. σῆς μὲν ἐκ πόλεως —, aut σῇ μὲν ἐν πόλει (ita ἔμπολιν ex ἐν πόλει corruptum fuerit), aut σοὶ μὲν ὁμόπολιν (sic ἀπόπολις Aesch. Ag. 1410. in mel.), aut σὸν μὲν σύμπολιν. Cf. O. R. 1016. ὁθούνεκ' ἦν σοὶ Πόλυβος οὐδὲν (οὐδάμ?) ἐν γένει, cf. Herod. 2, 66. ὁμότροφα τοῖσι ἀνθρώποισι θηρία.

1164. μολόντ' mss. μόνον Vauv. Recte.

1165. ἀπελθεῖν mss. ἀπελθεῖν τ' Heath.

1169. ὦ τᾶν, ἐπίσχες Pierson. φίλτατ', ἴσχες B. L. K. φίλτατ', ἐπίσχες A. R. φίλτατε, σχὲς Heath. De σχὲς cf. Eur. Iph. A. 1467. σχὲς, μή με προλίπῃς. Hipp. 1354. σχὲς, ἀπειρηκὸς σῶμ' ἀναπαύσω. τί δ' ἐστί σοι (sic) B. K. L. T.

1170. πράγματος ποίου; λέγε mss. De rara hac constructione

ΟΙ. ἔξοιδ' ἀκούων τῶνδ' ὃς ἔσθ' ὁ πρόστροπος.
ΘΗ. καὶ τίς ποτ' ἐστὶν ὅντινα ψέξαι με δεῖ;
ΟΙ. παῖς οὑμὸς, ὦναξ, στυγνὸς, οὗ λόγων ἐγὼ
ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων.
ΘΗ. τί δ'; οὐκ ἀκούειν ἔστι καὶ μὴ δρᾶν ἃ μὴ
χρῄζεις; τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν;
ΟΙ. ἔχθιστον, ὦναξ, φθέγμα τοῦδ' ἥκει πατρί·
μή 'μοιγ' ἀνάγκην προσβάλῃς τάδ' εἰκαθεῖν.
ΘΗ. ἀλλ', εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει
μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα.
ΑΝ. πάτερ, πιθοῦ μοι, κεἰ νέα παραινέσω.
τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ
χάριν παρασχεῖν τῷ θεῷ θ' ἃ βούλεται,
καὶ νῷν ὕπεικε τὸν κασίγνητον μολεῖν.
οὐ γάρ σε, θάρσει, πρὸς βίαν παρασπάσει
γνώμης ἃ μή σοι συμφέροντα λέξεται.
λόγων δ' ἀκοῦσαι τίς βλάβη; τά τοι κακῶς

Jebb. confert Xen. Cyr. VIII. 3. 19. *δεόμενοι Κύρου ἄλλος ἄλλης πράξεως*. Sed vulgata vix sana videtur. Qu. *πράγματος ποίου πέρι;* aut *πρᾶγμα ποῖον καὶ* (aut *δὴ*) *λέγεις;*

1171. *τῶνδ'* mss. Legerim *ταῦθ'*. *προστάτης* mss. Scribendum, ni fallor, *πρόστροπος*. Cf. Ph. 773. O. R. 41. et vv. *πρόστροπαιος, προστροπή, προστρέπω*.

1172. *ὅν γ'* (*ὃν* K.) *ἐγὼ ψέξαιμί τι* mss. Lege *ὅντινα ψέξαιμί τι*, aut *ψέξαιμ' ἐγώ*. Cf. Aesch. Pr. 292. *οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν | νείμαιμ' ἢ σοί*. Ag. 620. Cho. 172. Eur. Alc. 52. Aut *ὅντινα ψέξας ἔχεις*. Cf. Aj. 1130. *ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;*

1177. *τοῦθ'* mss. *τοῦδ'* Elmsl. Cf. 1182.

1178. *καὶ μή μ' ἀνάγκην προσβάλῃς* mss. Qu. *μὴ 'μοιγ' ἀνάγκην προσβάλῃς —*, aut *μή νυν ἀνάγκην προσβάλῃς* (sc. *μοι*) —. Cf. Eur. Herc. 710. *ἐπεὶ δ' ἀνάγκην προστίθης ἡμῖν θανεῖν*. *εἰκάθειν* mss. *εἰκαθεῖν* Elmsl.

1179. *σκόπει μὴ* —] Cf. Phil. 30. *ὅρα καθ' ὕπνον μὴ καταυλισθεὶς κυρῇ*. Colon post *σκοπεῖ* injuria notat Jebb.

1181. *κεἰ*] *καὶ εἰ* L.

1185. *παρασπάσει*] Cf. Ant. 791. *σὺ καὶ δικαίων ἀδίκους | φρένας παρασπᾷς ἐπὶ λώβᾳ*.

1186. *συμφέροντα* A. B. K. L. T.

1187. *καλῶς* mss. *κακῶς* Herm. Dind. Mein. Jebb. (qui vertit

ηὑρημέν' ἔργα τῷ λόγῳ μηνύεται.
ἔφυσας αὐτόν, ὥστε μηδὲ δρῶντά σε
τὰ τῶν κακίστων κἀσεβεστάτων, πάτερ,
θέμις σέ γ' ἐστὶ κεῖνον ἀντιδρᾶν κακῶς.
ἀλλ' ἔα νιν· εἰσὶ χἀτέροις γοναὶ κακαὶ
καὶ θυμὸς ὀξύς, ἀλλὰ νουθετούμενοι
φίλων ἐπῳδαῖς ἐξεπᾴδονται φρένας.
σὺ δ' εἰς ἐκεῖνα, μὴ τὰ νῦν, ἀποσκόπει
πατρῷα καὶ μητρῷα πήμαθ' ἅπαθες·

'evilly-devised deeds'). Cf. Aj. 1137. πόλλ' ἂν κακῶς (καλῶς L. pr.) λάθρα σὺ κλέψειας κακά. Eur. Ph. 1649. οὐκ, ἦν πονηρά γ' ᾖ κακῶς τ' εἰρημένα (κακῶς θ' ηὑρημένα?). Archipp. com. 36, 1. ἔστιν δέ μοι πρόφασις καλῶς ηὑρημένη. Soph. Fr. 964, 6. τὰ πολλὰ φροῦδα καὶ καλῶς εἰρημένα (ηὑρημένα?).

1188. εὑρημέν' mss. ηὑρημέν' Dind. τῷ λόγῳ] Qu. τοῖς λόγοις. Cf. Eur. Hipp. 1051. οὐδὲ μηνυτὴν χρόνον | δέξει καθ' ἡμῶν —;

1189—1191. Hos versus spurios habet Mein.

1189. ἔφυσας] κἄφυσας Heims. μήτε mss. μηδὲ Dawes.

1190. δυσσεβεστάτων mss. κἀσεβεστάτων recte Toup. Musgr. δυσσεβέστατ', ὦ Dawes. Fort. τὰ καὶ κάκιστα κἀσεβέστατ', ὦ πάτερ.

1191. θέμις σέ γ' εἶναι mss. Nauck. Dind. Jebb. θέμις σε γονέα Fröhlich. σοὶ θεμιτὸν εἶναι — Hart. Qu. θέμις (aut θεμιτὸν) σέ γ' ἐστι —, aut θεμιτὸν σέ γ' εἶναι —. Cf. 1758. O. R. 993.

1192. αὐτόν (αὐτὸν L. pr. m. αὐτὸν sec. m. αὐτὸν B. K. T.) mss. ἔα αὐτὸν Br. Schn. ἔα νιν Herm. Wund. Rumpel. (Cf. Ant. 95. ἀλλ' ἔα με — παθεῖν — τοῦτο. O. R. 1451.). ἔασον ed. Lond. 1722. Dind. Mein. εἶξον Musgr. prob. Nauck.

1194. ἐπῳδαῖς] Suspectum. Qu. λόγοισιν. ἐξεπᾴδονται] ἐκμαλάσσονται conj. Nauck. Probabilis correctio. Cf. Aj. 594. πρὸς θεῶν μαλάσσου. Sophoclem ἐπῳδαῖς ἐξεπᾴδονται scripsisse vix credibile olim mihi videbatur. Confer tamen Plat. Phaed. 77 E. χρὴ — ἐπᾴδειν αὐτῷ ἑκάστης ἡμέρας ἕως ἂν ἐξεπᾴσητε. Plut. Mor. 384 A. τὸ — ἄλογον τῆς ψυχῆς ἐξεπᾴδοντες οὕτω καὶ θεραπεύοντες. Cum ἐξεπᾴδειν confer composita Sophoclea ἐξεπεύχεσθαι, ἐξεπομβρεῖν, ἐξεμπολᾶν, ἐξεπίστασθαι, ἐξαφαιρεῖσθαι, ἐξαφιέναι, ἐξαφίστασθαι, ἐξυφηγεῖσθαι φύσιν mss. φρένας Bl.

1195. εἰς ἐκεῖνά μοι (pro μὴ) τὰ νῦν Camer. prob. Fröhlich. Mein. Nihil opus.

κἂν κεῖνα λεύσσῃς, οἶδ' ἐγώ, γνώσει τάχα
θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται.
ἔχεις γὰρ οὐχὶ βαιὰ τἀνθυμήματα
τῶν σῶν ἀδέρκτων ὀμμάτων τητώμενος.
ἀλλ' ἡμὶν εἶκε· λιπαρεῖν γὰρ οὐ καλὸν
δίκαια προσχρήζουσαν, οὐδ' αὐτὸν μὲν εὖ
πάσχειν; παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.
OI. τέκνον, βαρεῖαν δὴ χάριν νικᾶτέ με
λέγοντες, ἔστω δ' οὖν ὅπως ὑμῖν φίλον·
μόνον, ξέν', εἴπερ κεῖνος ὧδ' ἐλεύσεται,
μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτε.
ΘΗ. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δίς, χρῄζω κλύειν,
ὦ πρέσβυ. κομπεῖν οὐχὶ βούλομαι, σὺ δ' ὢν
σῶς ἴσθ', ἐάν περ κἀμέ τις σώζῃ θεῶν.

στροφή.

XO. ὅστις τοῦ πλέονος μέρους χρῄζει τοῦ μετρίου πέρα

1197. κἂν] Ubicunque hoc καὶ ἢν valet, κἢν scribendum arbitror, ut in optimis mss. aliquando legitur. κεῖνα λύσῃς mss. κεῖνα λεύσσῃς Pierson. Qu. κεῖν' ἀθρήσῃς. Cf. Ant. 1077. καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος λέγω. κακοῦ mss. Suspectum. Dedi τάχα.

1198. προσγίνεται A. B. K. L. T.

1199. οὐχὶ βίαια L. οὐ βίαια A. B. T. οὐχὶ βαιὰ Musgr. Mein. γὰρ οὖν βίαια Heath. Porson. Cf. Tr. 44. χρόνον γὰρ οὐχὶ βαιὸν —.

1201. ἧμιν (sic) L. K. ἡμὶν T.

1202. προσχρήζουσιν mss. προσχρήζουσαν (sic) Rauchenstein. Dedi προσχρήζοντας. Cf. 1205.

1204. βαρεῖαν ἡδονὴν mss. Jure suspectum Nauckio. Correxi βαρεῖαν δὴ χάριν —.

1206. ἐλεύσεται mss. ἀφίξεται conj. Nauck.

1208. ἅπαξ ἐγὼ ταῦτ' Burges. κλύειν] λέγειν Weckl.

1209. κομπεῖν δ' (δ' ab S. insertum) L. Melius aberit particula. σὺ δὲ L. σὺ δ' ὢν Dind. Mein.

1210. σῶν mss. σῶς Scal. Dind. Cf. O. R. 1014. ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων;

1212. τοῦ μετρίου mss. τοὐκ μετρίου (de modico vivere) Reisk. Sed ita τοὐκ τοῦ μετρίου requireretur. Qu. τὰν μετρίαν παρεὶς ζωάν. παρεὶς mss. πέρα probabiliter Schneid. Bl. Cf. 257. 1219. O. R. 74. τοῦ γὰρ εἰκότος πέρα | ἄπεστι. El. 521. 1506.

ζώειν σκαιοσύναν φυλάσσων
ἐν ἐμοὶ κατάδηλός ἐστιν,
ἐπεὶ πολλὰ μὲν αἱ μακραὶ ἁμέραι † κατέθεντο δὴ
λύπας ἐγγυτέρω, τὰ τέρποντα δ' οὐκ ἂν ἴδοις ὅπου,
ὅταν τις ἐς πλέον πέσῃ
τοῦ σθένοντος· ὁ δ' ἐπίκουρος † ἰσοτέλεστος,
μοῖρ' ὅτ' Ἄϊδος ἀνυμέναιος,
ἄλυρος ἄχορος ἀναπέφηνε,
θάνατος ἐς τελευτάν.

ἀντιστροφή.

μὴ φῦναί τιν' ἅπαντα νικᾷ λόγον· τὸ δ', ἐπεὶ φύῃ,

1213. *ζώιειν* L. *φυλάσσων*] *ὀφείλων* (i. q. *ὀφλισκάνων*) Mähly.

1214. *ἐν ἐμοὶ*] Angl. in my estimation. Cf. O. R. 677. *ἐν δὲ τοῖσδ' ἴσος*. Qu. *ὅδ' ἐμοί*, aut *παρ' ἐμοί*. *κατάδηλος*] Fort. *μάλα δῆλος*. Vix alibi legitur *κατάδηλος*. *ἔσται* mss. *ἐστιν* Herw.

1215. *κατέθεντο δὴ λύπας ἐγγυτέρω*] Suspectum. Qu. *κἀκ' ἔθεντο δὴ* —, aut *κατέθεντ' ἄχη λύπας τ'* —. Connecte *πολλὰ δή*.

1216. *λύπας ἐγγυτέρω*] Sub. *ἢ χαρᾶς*.

1218. *ὅταν*] *ὁπότ' ἂν* (*γρ. ὅπου ὅτ' ἂν* ab S.) L. *ὁππότ' ἂν* K. *ὁπόταν* B. T.

1219. *πέσῃ* mss. *προβῇ* conj. Nauck. Cf. O. C. 157. Qu. *μόλῃ*.

1220. *τοῦ θέλοντος* mss. *τοῦ δέοντος* Reisk. Mein. Jebb. prob. Dind. Schol. *ἀντὶ τοῦ τοῦ μετρίου, τοῦ ἱκανοῦ*. Schol. ad 1218. *ἐς πλέον τοῦ προσήκοντος*. Qu. *τοῦ σθένοντος* aut *τοῦ μεσοῦντος*. Cf. ad Ph. 730. *οὐδ'* mss. *ὁ δ'* Herm. *ἰσοτέλεστος*] Pariter perficiens, i. e. omnibus pariter finem (vitae) afferens. Anglice, dispensing equally to all. Formatum ut *ἀτέλεστος* (Hom. Il. 4, 26. *ἄλιον θεῖναι πόνον ἠδ' ἀτέλεστον*. Od. 16, 11. 8, 571.). Activo sensu. I. q. *ἰσοτελής*. Sed vereor ut activo sensu usurpari queat *ἰσοτέλεστος*. Qu. *ἰσοτάλαντος* (Eust.), aut *ἰσοτέλευτος* (coll. Aesch. Ag. 1451. *ἀτέλευτον ὕπνον*. Hom. Od. 17, 546. *τῷ κε καὶ οὐκ ἀτελὴς θάνατος μνηστῆρσι γένοιτο*).

1223 sq. *Ἄϊδος ὅτε μοῖρ' ἀνυμέναιος | ἄλυρος ἄχορος ἀναπέφηνε* mss. *ἄλυρος ἄχορος ἀνυμέναιος | μοῖρ' ὅτ' Ἄϊδος ἀναπέφηνε* Martin. Arridet mihi saltem correctio *μοῖρ' ὅτ' Ἄϊδος*.

1225. *φῦναι τὸν* mss. Offendit articulus. Lege *φῦναί τιν'*. *φανῇ*] Qu. *φύῃ* propter praecedens *φῦναι*. Et sic Mähly. Nauck. Cf. Eur. Fr. 377, 2. *ὃς γὰρ ἂν χρηστὸς φύῃ* —. De re ipsa cf. Ant. 721. *φήμ' ἔγωγε πρεσβεύειν πολὺ | φῦναί τιν'* (*τὸν* vulg.) *ἄνδρα πάντ'*

βῆναι κεῖσ' ὁπόθεν περ ἥκει
πολὺ δεύτερον ὡς τάχιστα·
ὡς, εὖτ' ἂν τὸ νέον παρῇ κούφας ἀφροσύνας
φέρον,
τίς πλαγὰ πολύμοχθος ἔξω; τίς οὐ καμάτων ἔνι;
φθόνος, στάσεις, ἔρις, μάχαι
καὶ φόνοι· τὸ δὲ κατάμεμπτον ἐπιλέλογχε
πύματον ἀκρατὲς ἀπροσόμιλον
γῆρας ἄφιλον, ἵνα πρόπαντα
κακὰ κακῶν ξυνοικεῖ·

ἐπῳδός.

ἐν ᾧ τλάμων ὅδ', οὐκ ἐγὼ μόνος,

ἐπιστήμης πλέων. Bacchyl. Fr. 2, 1. θνατοῖσι μὴ φῦναι φέριστον | μηδ' ἀελίου προσιδεῖν φέγγος. Eur. Fr. 285. 908.

1227. βῆναι κεῖθεν ὅθεν περ ἥκει mss. βῆναι κεῖσ' ὅθεν ἄν περ ἥκῃ Dobr. Legendum videtur βῆναι κεῖσ' αὖ ὅθεν —, aut κεῖσε (aut κεῖσ' αὖ) βῆναι ὅθεν, aut potius βῆναι κεῖσ' ὁπόθεν —. Correctio prorsus necessaria. Cf. Aj. 699. ἐγὼ γὰρ εἶμ' ἐκεῖσ' ὅποι πορευτέον. Plat. Phaed. 117 C. χρὴ τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι. Legg. IX. 864 C. ἐκεῖσε ὁπόθεν ἐξέβημεν δεῦρο. Antiph. III. 48. ἐκεῖσε δ' οὐ (αὖ?) πλέω | ὅθεν διεσπάσθημεν. Aelian. V. H. 14, 33. οὐκ ἐπανῆλθεν ἐκεῖσε ὅθεν ἐπράθη. Et sine ἐκεῖσε Thuc. 7, 27. διενοοῦντο αὐτοὺς πάλιν ὅθεν ἦλθον ἐς Θρᾴκην ἀποπέμπειν. Mire explicat Dindorfius, "κεῖθεν ὅθενπερ per attractionem dictum pro κεῖσε ὅθενπερ." Attractio inaudita.

1230. Qu. κούφαν ἀφροσύναν. φέρον B. T. φέρων L. K. φορὸν (ferax) Herw.

1231. τίς πλάγχθη πολύμοχθος mss. τίς πλαγὰ — Herw. Jebb. (coll. Aesch. Eum. 893. Ag. 358. 461. Recte, opinor.) τίς πλάγχθη κακότατος (miseriae) conj. Dind. (Cf. El. 236. καὶ τί μέτρον κακότατος ἔφυ;) τίς μόχθος πολύπλαγκτος conj. Nauck. Quod mihi ipsi in mentem venerat. Cf. 165. πολύμοχθ' ἀλᾶτα. Epithetum πολύπλαγκτος legitur Eur. Herc. 1197. πολυπλάνητος (πόναι) Hel. 1335.

1233. φόνοι] Qu. φθόνοι. ἔρις] Qu. ἔριδες.

1234. φθόνος mss. φόνοι Faehse. Fortasse recte. Cf. ad 1243. τό τε L. Lege τὸ δέ.

1239. οὐκ ἐγὼ μόνος] Haec mihi languida et inepta videntur. Fort. οὐκ ἄνευ θεῶν. Sed cf. El. 528. ἡ γὰρ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη. Post μόνος plenum punctum notat Mein.

πάντοθεν βόρειος ὥς τις
ἀκτὰ κυματοπλὴξ χειμερία κλονεῖται,
τὼς καὶ τόνδε κατ' ἄκρας
δειναὶ κυματοαγεῖς
ἆται κλονέουσιν ἀεὶ ξυνοῦσαι,
αἱ μὲν ἀπ' ἀελίου δυσμᾶν,
αἱ δ' ἀπὸ τέλλοντος,
αἱ δ' ἀνὰ μέσσαν ἀκτῖν',
αἱ δ' ἐννυχιᾶν ἀπὸ Ῥιπᾶν.
ΑΝ. *καὶ μὴν ὅδ' ἡμῖν, [ὡς ἔοικεν, ὁ ξένος*
ἀνδρῶν γε μοῦνος,] ὦ πάτερ, δι' ὄμματος
ἀστακτὶ λείβων δάκρυ' ὧδ' ὁδοιπορεῖ.
ΟΙ. *τίς οὗτος; ΑΝ. ὅνπερ καὶ πάλαι κατείχομεν*
γνώμῃ, πάρεστι δεῦρο Πολυνείκης ὅδε.

1240. *πάντοθεν*] *ποντόθεν* (Hom. Il. 14, 395.) Reisig., quum litus quod uno aliquo vento pulsatur vix *πάντοθεν* pulsari dici possit.

1242. *ὡς* mss. *ὧς* Br. Cf. ad El. 1085. Dedi *τώς*. Cf. Aj. 841. *ὥσπερ — τὼς —*. Hoc adverbio quater utitur Aeschylus (Sept. 484. 637. 8uppl. 69. 691.), ut monuit Dind. *κατ' ἄκρας* (sic) B. K. L. T.

1243. *κυματοαγεῖς*] I. e. *κυματοϜαγεῖς* (breaking like billows). Qu. *κυματοπλῆγες* (-*ᾶγες*). Cf. Ant. 592. *ἀντιπλῆγες ἀκταί.*

1244. *ἆται* A. T. *αἵτε* B. K. *αἳ* L. pr. *αἵτε* corr.

1246. *ἀνατέλλοντος* mss. Correxi *ἀπὸ τέλλοντος*. Cf. El. 699. *ἡλίου τέλλοντος.*

1248. *αἱ δὲ νυχίαν* A. L. al. Dind. *αἱ δὲ νυχιᾶν* B. T. *αἱ δὲ νυχίᾶν* K. *αἱ δ' ἐννυχιᾶν* Lachm. Mein. Jebb· (ex schol.) Qu. *αἱ δ' αὖ νυχιᾶν.*

Ῥιπᾶν] His de montibus cf. Aesch. Fr. 68. *Ῥιπᾶν μὲν δὴ πατρός* (*πατρίς*?). Fr. 197. *Ῥιπαῖα ὄρη*. Arist. Meteor. I. 13. Alcman. Fr. 5. *Ῥιπᾶν ὄρος ἀνθέον ὕλᾳ*. Callim. Fr. 215. *Ῥιπαίου πέμπουσιν ἀπ' οὔρεος*. Hellanic. Fr. 96. Damas. Fr. 1. Strab. VII. p. 297. Steph. Byz. s. h. v. Virg. G. I. 240. 'Rhipaei montes.'

1249. *ὡς ἔοικεν — μοῦνος*] Haec num genuina sint dubitat Nauck.

1250. *ἀνδρῶν γε μοῦνος* mss. Dindorfio et Meinekio merito suspectum. *ἀνδρῶν δίχ' ἄλλων* conj. Dind. *ἀνδρῶν ἔρημος* Weckl. Cf. O. R. 51. *ἔρημος ἀνδρῶν —*. Versum damnant Nauck. Dind.

1251. *δάκρυον* mss. Correxi *δάκρυ'*. Sed cf. El. 1231. *γεγηθὸς ἕρπει δάκρυον ὀμμάτων ἄπο*. Aesch. Ag. 270. *χαρά μ' ὑφέρπει δάκρυον ἐκκαλουμένη.*

ΠΟΛΥΝΕΙΚΗΣ.

οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν
ἀνδρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
σὺν σφῷν ἐφηύρηκ' ἐνθάδ' ἐκβεβλημένον
ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος
πλευρὰν μαραίνων, κρατὶ δ' ὀμματοστερεῖ
κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται·
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω,
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ 'ξ ἄλλων πύθῃ.
ἀλλ' ἔστι γάρ τοι Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοί, πάτερ,
παρασταθήτω· τῶν γὰρ ἡμαρτημένων
ἄκη μὲν ἔστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τι· μή μ' ἀποστραφῇς.
οὐδ' ἀνταμείψει μ' οὐδέν; ἀλλ' ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,

1256. Additus in L. a m. rec. *πατρὸς*] Qu. *ἀνδρός*.

1257. *σὺν* mss. *ξὺν* vulg. Herw. *ἐφεύρηκ'* mss. *ἐφηύρηκ'* Dind.

1259. *πόνος* mss. *πίνος* Scal. Reisk.

1260. *μαραίνων*] *μιαίνων* (inquinans) Herw.

1262. *τούτοισιν*] Qu. *τούτων αὖ* (aut *δή*). Cf. Ant. 192. *ἀδελφὰ τῶνδε*. Plat. Phaedr. 276 D. *ὅσα τούτων ἀδελφά*. Resp. VIII. 558 C. *τούτων ἄλλα ἀδελφά*. Soph. 224 B. et alibi. Sed cum dativo Tim. 67 E. Conv. 210 B. *τούτοισιν φορεῖ*] *τοῖσδε συμφέρει* conj. Bl. Qu. *τούτοισιν πρέπει*.

1266. *ἥκειν*] Fort. *εἶναι*. *τἄλλα* mss. *τἀμὰ* Reisk. Qu. *ταῦτα*.

1267. *γὰρ καὶ* mss. Dedi *γάρ τοι*.

1268. *καὶ πρὸς σοί, πάτερ* mss. Qu. *καὶ σοί γ', ὦ πάτερ*, aut *καὶ σοὶ πρὸς* (insuper), *πάτερ*. *σοὶ* A. K. L. *σοῦ* B. et (sup. *σοὶ*) T.

1270. *προσφορὰ*] Qu. *προσβολή*.

1273. *ἀνταμείβει* mss. Dedi *ἀνταμείψει* propter sequens *πέμψεις*.

πειράσατ' αλλ' ὑμεῖς γε κινῆσαι πατρὸς
τὸ δυσπρόσοιστον κἀπροσήγορον στόμα,
ὡς μή μ' ἄτιμον, τὸν θεοῦ γε πρόστροπον,
οὕτως ἀφῆται μηδὲν ἀντειπὼν ἔπος.
ΑΝ. λέγ', ὦ ταλαίπωρ', αὐτὸς ὧν χρείᾳ πάρει·
τὰ πολλὰ γάρ τοι ῥήματ' ἢ τέρψαντά τι
ἢ δυσχεράναντ' ἢ κατοικτίσαντά πως
παρέσχε φωνὴν τοῖς ἀφώνοισίν τινά.
ΠΟ. ἀλλ' ἐξερῶ· καλῶς γὰρ ἐξηγεῖ σύ μοι·
πρῶτον μὲν αὐτὸν τὸν θεὸν ποιούμενος
ἀρωγὸν ἔνθεν μ' ὧδ' ἀνέστησεν μολεῖν
ὁ τῆσδε τῆς γῆς κοίρανος, διδοὺς ἐμοὶ
λέξαι τ' ἀκοῦσαί τ' ἀσφαλεῖ σὺν ἐξόδῳ.
καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι
καὶ ταῖνδ' ἀδελφαῖν καὶ πατρὸς κυρεῖν ἐμοί.
ἃ δ' ἦλθον ἤδη σοι θέλω λέξαι, πάτερ.
γῆς ἐκ πατρῴας ἐξελήλαμαι φυγὰς
τοῖς σοῖς ἀνάρχοις οὕνεκ' ἐνθακεῖν θρόνοις

1278. *τοῦ θεοῦ* mss. *τὸν θεοῦ* Bl. *προστάτην* mss. *πρόστροπον* Hart. Fort. *προσστάτην*, coll. vv. *πρόστροπος* et *προστρόπαιος*.

1279. *οὕτως μ' ἀφῇ γε* mss. *οὕτως ἀφῇ με* Dind. Mein. Jebb. (Sed jam praecessit *με*) *οὕτως ἀφιῇ* Elmsl. Hart. Dedi *οὕτως ἀφῆται*.

1280. *χρείᾳ*] *χρεῖος* aut *χρῄζων* (coll. O. R. 933.) conj. Nauck.

1282. *ἢ δυσχεράντ' ἢ κατοικτίσαντά πως*] Jebb vertit, or by some utterance of indignation or pity. Nec *δυσχεραίνειν* nec *κατοικτίζειν* transitivensu usurpatur. Vix *κατοικτίζειν* (misereri) dici possent ipsa *ῥήματα*. Si sana est vulgata, verbis (*ῥήμασι*) tribuuntur quae proprie personis conveninnt. *δυσχεράναντ'*] Suspectum, quum intransitivum sit *δυσχεραίνειν*. *ἢ κατοικτίσαντά πως* mss. *ἢ κατακνίσαντά πως* Bl. Qu. *ἤ τι κινήσαντά πως*, aut *ἤ τι καὶ κνίσαντά πως*. Cf. O. R. 786. *ἔκνιζέ μ' ἀεὶ τοῦτο* —. *Κατακνίζειν* vellicare significat, Isocrat. 236 C. Arist. Pl. 973.

1283. *τοῖς ἀφωνήτοις* mss. *τοῖς ἀφώνοισιν* conj. Nauck. Recte, opinor. Aliud est *ἀφώνητος* passivo sensu (Pind. P. 4, 422.).

1288. *σὺν* L. K. *ξὺν* B. T.

1291. *ἃ δ' ἦλθον* mss. Qu. *τί δ' ἦλθον*. Sed cf. O. R. 1005. *τοῦτ' ἀφικόμην*. 785.

1293. *πανάρχοις* mss. *ἀνάρχοις* bene Nauck. Cf. Il. 2, 703.

γονῇ πεφυκὼς ἠξίουν γεραίτερος.
ἀνθ' ὧν μ' Ἐτεοκλῆς, ὢν φύσει νεώτερος,
γῆς ἐξέωσεν οὔτε νικήσας λόγῳ
οὔτ' εἰς ἔλεγχον χειρὸς οὐδ' ἔργου μολών,
πόλιν δὲ πείσας. ὧν ἐγὼ μάλιστα μὲν
τὴν σὴν Ἐρινὺν αἰτίαν εἶναι λέγω·
ἔπειτα κἀπὸ μάντεων ταύτῃ κλύω.
ἐπεὶ γὰρ ἦλθον Ἄργος ἐς τὸ Δωρικόν,
λαβὼν Ἄδραστον πενθερὸν ξυνωμότας
ἔστησ' ἐμαυτῷ γῆς ὅσοιπερ Ἀπίας
πρῶτοι καλοῦνται καὶ τετίμηνται δόρει,
ὅπως τὸν ἑπτάλογχον ἐς Θήβας στόλον
ξὺν τοῖσδ' ἀγείρας ἢ θάνοιμι πανδίκως
ἢ τοὺς τάδ' ἐκπράξαντας ἐκβάλοιμι γῆς.
εἶεν· τί δῆτα νῦν ἀφιγμένος κυρῶ;
σοὶ προστροπαίους, ὦ πάτερ, λιτὰς φέρων
αὐτός τ' ἐμαυτοῦ ξυμμάχων τε τῶν ἐμῶν,
οἳ νῦν σὺν ἑπτά τ' ἀσπίσιν σὺν ἑπτά τε
λόγχαις τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν·

οὐδὲ μὲν οὐδ' οἱ ἄναρχοι ἔσαν, πόθεόν γε μὲν ἀρχόν, | *ἀλλὰ σφέας κόσμησε Ποδάρκης* —.

1294. *γονῇ* —] Sic Eur. Fr. 526. *κἂν γονῇ κακός τις ᾖ. γεραιτέρᾳ* mss. *γεραίτερος* Jacobs. Nauck. prob. Dind. Recte. Cf. 374. *χρόνῳ* (*γονῇ*?) *μείων γεγώς*. Hom. Il. 21, 439. *γενεῆφι νεώτερος*.

1297. *οὔτ'* mss. *οὐδ'* Herm.

1299. *ἐρινῦν* (sic) L. *ἐριννὺν* A. K. *ἐριννῦν* B. T.

1301. *ἐπεὶ γὰρ* mss. *ἐπεὶ δ' ἄρ'* requirit Mein.

1304. *δορὶ* mss. *δόρει* Dind.

1306. *θάνοιμι πανδίκως*] Cf. O. R. 669. *κεἰ χρή με παντελῶς* (l. *πανδίκως*) *θανεῖν*.

1307. *τάδ' ἐκπράξαντας*] Qu. *τάδε ῥέξαντας*.

1308. *τί δῆτα νυν* mss. et vulg. Scribendum forsan *τί δὴ τὰ νῦν*. Cf. Aj. 101. *τί γὰρ δὴ* —;

1309. *ἔχων* mss. Correxi *φέρων*, unde pendet dativus *σοί*.

1310. *αὐτός γ'* mss. *αὐτός τ'* Reisk.

1311. *ἑπτὰ τάξεσιν* mss. *ἑπτά τ' ἀσπίσιν* Bergk. Mein. Recte, opinor. Sic *ἀσπὶς* et *δόρυ* conjunguntur 1524 sq. Aesch. Suppl. 179.

1312. *λόγχαις*] Fort. *λόχοις*.

οἷος δορυσσοῦς Ἀμφιάρεως, τὰ πρῶτα μὲν
δόρει κρατῶν, τὰ πρῶτα δ' οἰωνῶν ὁδοῖς·
ὁ δεύτερος δ' Αἰτωλὸς Οἰνέως τόκος
Τυδεύς· τρίτος δ' Ἐτέοκλος, Ἀργεῖος γεγώς·
τέταρτον Ἱππομέδοντ' ἀπέστειλεν πατὴρ
Ταλαός· ὁ πέμπτος δ' εὔχεται κατασκαφῇ
Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν πυρί·
ἕκτος δὲ Παρθενοπαῖος Ἀρκὰς ὄρνυται,
ἐπώνυμος τῆς πρόσθεν ἀδμῆτος χρόνῳ
μητρός λοχευθεὶς, πιστὶς Ἀταλάντης γόνος·
ἐγὼ δὲ σὸς, κεἰ μὴ σὸς ἀλλά του κακοῦ
πότμου φυτευθεὶς, σός γ' ὅμως καλούμενος,
ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατόν.
οἵ σ' ἀμφὶ παίδων τῶνδε τῆς ψυχῆς, πάτερ,
ἱκετεύομεν ξύμπαντες ἐξαιτούμενοι
μῆνιν βαρεῖαν εἰκαθεῖν ὁρμωμένῳ
τῷδ' ἀνδρὶ τοὐμοῦ πρὸς κασιγνήτου τίσιν,
ὅς μ' ἐξέωσε κἀπεσύλησεν πάτρας.
εἰ γάρ τι πιστόν ἐστιν ἐκ χρηστηρίων,

1313. *οἷον* mss. Lege *οἷος*. Cf. Aj. 945. *οἷα Χρυσόθεμις ζώει* —. El. 158. *δορύσσους* mss. *δορυσσοῦς* Reisig. Cf. ad Aj. 1188.

1314. *δορὶ* mss. *δόρει* Herm. *κρατύνων, πρῶτα δ'* mss. Correxi *κρατῶν, τὰ πρῶτα δ'*. *ὁδοῖς*] Suspectum Nauckio. *νόμοις* Mähly. Qu. *ἕδραις*.

1318. *κατασκαφῇ* mss. Qu. *κατασκαφαῖς*, coll. Aesch. Sept. 46. *πόλει κατασκαφὰς* | *θέντες*. Cho. 46. *ἰὼ κατασκαφαὶ δόμων*.

1321. Sensus loci parum feliciter expressi hic videtur esse, 'Nomen gerens (Anglice 'called after') a virgine ea quae postea eum peperit.' Cum allusione ad v. *παρθένος*. *ἀδμήτης* mss. Dedi *ἀδμῆτος*. Cf. 1056. 1322. *πιστὸς*] *κεδνὸς* conj. Nauck. *κλεινὸς* Herw.

1323. *ἀλλὰ τοῦ* —] Scribendum videtur *ἀλλά του* —.

1324. *σός γέ τοι* mss. Correxi *σός γ' ὅμως*. Qu. *σός γε μήν*.

1326. *οἵ σ' ἀντὶ παίδων τῶνδε* mss. *οἵ σ' ἀμφὶ παίδων τῶνδε* Lud. Dind. Qu. *οἵ πρός σε παίδων τῶνδε*, aut *οἵ πρός τέκνων σε*. Cf. 1333. *πρός νύν σε κρηνῶν* (leg. *κείνων*) *καὶ θεῶν ὁμογνίων*. *καὶ ψυχῆς* mss. Suspectum. Qu. *καὶ σαυτοῦ* aut potius *τῆς ψυχῆς*.

1328. *μῆνιν βαρεῖαν*] Qu. *μήνεως βαρείας*. *εἰκάθειν* mss. *εἰκαθεῖν* Elmsl.

οἷς ἂν σὺ προσθῇ, τοῖσδ' ἐφέψεται κράτος.
πρός νύν σε κείνων καὶ θεῶν ὁμογνίων
αἰτῶ πιθέσθαι καὶ παρεικαθεῖν, ἐπεὶ
πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι, ξένος δὲ σὺ,
ἄλλους δὲ θωπεύοντες οἰχνοῦμεν σύ τε
κἀγὼ τὸν αὐτὸν δαίμον' ἐξειληχότες.
ὁ δ' ἐν δόμοις τύραννος, ὢ τάλας ἐγὼ,
κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται·
ὃν, εἰ σὺ τῇμῇ ξυμπαραστήσει χερὶ,
βραχεῖ σὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ·
ὥστ' ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων,
στήσω δ' ἐμαυτὸν, κεῖνον ἐκβαλὼν βίᾳ.
καὶ ταῦτα σοῦ μὲν ξυνθέλοντος ἔστι μοι
κομπεῖν, ἄνευ σοῦ δ' οὐδὲ σωθῆναι σθένω.
ΧΟ. τὸν ἄνδρα τοῦ πέμψαντος εἵνεκ', Οἰδίπους,
εἰπὼν ὁποῖα ξύμφορ' ἔκπεμψαι πάλιν.
ΟΙ. ἀλλ', εἰ μὲν, ἄνδρες τῆσδε δημοῦχοι χθονὸς,
μὴ 'τύγχαν' αὐτὸν δεῦρο προσπέμψας ἐμοὶ

1332. ἔφασκ' εἶναι mss. ἐφέψεται conj. Nauck. Palmaria correctio.

1333. πρὸς νῦν A. B. L. πρός νυν (gl. δὴ) T. κρηνῶν] Θηβῶν conj. Nauck. κείνων Herw. Quod recepi. καὶ θεῶν] πρὸς θεῶν A.

1334. παρεικάθειν mss. παρεικαθεῖν Elmsl.

1336. οἰκοῦμεν mss. οἰχνοῦμεν (i. e. vagamur) F. G. Schmidt. Recte, opinor. Cf. El. 166. ἄτεκνος τάλαιν' ἀνύμφευτος αἰὲν οἰχνῶ (schol. περιέρχομαι). 313. Aj. 564.

1337. ἐξειληφότες mss. ἐξειληχότες Mein. Cf. El. 760. ὅπως πατρῴας τύμβον ἐκλάχοι χθονός. et ad Phil. 1429. Arist. Av. 279. λόφον κατειληχὼς — ὄρνις.

1339. κοινῇ] Suspectum. Fort. τὰ νῦν.

1340. φρενὶ mss. Lege χερί.

1341. χρόνῳ B. K. L. et (πόνῳ sup.) A. Praeferendum videtur πόνῳ. Idem probat Nauck. Cf. ad Aesch. Pr. 79.

1342. στήσω — στήσω] Qu. στῆσαι — στῆσαι.

1344. σοῦ μὲν A. K. L. μὲν σοῦ B. T.

1346. εἵνεκ' B. T. οὕνεκ' A. K. L. Οἰδίπου mss. Οἰδίπους Valck. Cf. ad O. R. 405.

1348. δημοῦχοι] δημοῦχος L. ab S. Cf. 1087. γᾶς τᾶσδε δαμούχοις. 1350. ἐμοῦ κλύειν λόγους] Qu. ἐμοὺς —.

Θησεύς, δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους,
οὔ τἄν ποτ' ὀμφῆς τῆς ἐμῆς ἐπῄσθετο·
νῦν δ' ἀξιωθεὶς εἶσι κἀκούσας ἐμοῦ
τοιαῦθ' ἃ τὸν τοῦδ' οὔ ποτ' εὐφρανεῖ βίον·
ὅς γ', ὦ κάκιστε, σκῆπτρα καὶ θρόνους ἔχων,
ἃ νῦν ὁ σὸς ξύναιμος ἐν Θήβαις ἔχει,
τὸν αὐτὸς αὑτοῦ πατέρα τόνδ' ἀπήλασας
κἄθηκας ἄπολιν καὶ στολὰς ταύτας φορεῖν,
ἃς νῦν δακρύεις εἰσορῶν, ὅτ' ἐν πότμῳ
ταὐτῷ βεβηκὼς τυγχάνεις ἐμοὶ κακῷ.
οὐ κλαυστὰ δ' ἐστὶν, ἀλλ' ἐμοὶ τάδ' οἰστέα
ἕωσπερ ἂν ζῶ, σοῦ φονέως μεμνημένῳ.
σὺ γάρ με μόχθῳ τῷδ' ἔθηκας ἔντροφον,
σύ μ' ἐξέωσας, ἐκ σέθεν δ' ἀλώμενος
ἄλλους ἐπαιτῶ τὸν καθ' ἡμέραν βίον.
εἰ δ' ἐξέφυσα τάσδε μὴ 'μαυτῷ τροφοὺς
τὰς παῖδας, ἦ τἂν οὐκ ἂν ἢ το σὸν μέρος·
νῦν δ' αἵδε μ' ἐκσώζουσιν, αἵδ' ἐμαὶ τροφοί,

1351. οὔτ' ἂν mss. οὔ τἂν Br. Qu. οὐκ ἄν.

1352. γέ μου L. γ' ἐμοῦ A. T. γε μοῦ (sic) B. δ' ἐμοῦ L². Melius, opinor, aberit particula.

1357. φέρειν L. al. φορεῖν A. Cf. 1262. El. 269.

1358. πόνῳ mss. Nauckio suspectum. Lege πότμῳ. Et sic Bergk. Cf. El. 1094. μοίρᾳ μὲν οὐκ ἐν ἐσθλᾷ βεβῶσαν. 1056. ὅταν γὰρ ἐν κακοῖς | ἤδη βεβήκῃς. O. R. 80. Eur. Fr. 1073. et 196, 4.

1359. βεβηκὼς] Fort. βεβὼς δή. κακῶν ἐμοί mss. Vitiosum. Qu. ἐμοὶ τὰ νῦν, aut ἐμοὶ κακῷ. Cf. 1323. τοῦ (του?) κακοῦ | πότμου φυτευθείς.

1360. 1361. Versus fortasse spurii.

1360. κλαυστὰ δ' ἐστὶν (κλαύστ' ἐστὶν pr.) L. κλαυτὰ δ' ἐστὶν T. Reisk. Dind. ἐμοὶ μὲν οἰστέα | τάδ' ὥσπερ ἂν ζῶ mss. Lege ἐμοὶ τάδ' οἰστέα | ἕωσπερ ἂν ζῶ.

1361. τάδ' ὥσπερ mss. τάδ' ἕωσπερ Reisk. Herw. Scribendum videtur plene ἕωσπερ (om. τάδ'), ut ἕως in Aj. 1117. Phil. 635. 1330. μεμνημένος (-ου R.) mss. μεμνημένον Dind. Dedi μεμνημένῳ.

1364. ἐπαιτῶ mss. Qu. προσαιτῶ.

1366. ἦ A. B. ἦν K. L. corr. m. rec. T.

αἵδ' ἄνδρες, οὐ γυναῖκες, ἐς τὸ συμπονεῖν·
ὑμεῖς δ' ἀπ' ἄλλου κοὐκ ἐμοῦ πεφύκατον.
τοιγάρ σ' ὁ δαίμων † εἰσορᾷ νῦν οὔ τί πω
ὡς αὐτίκ', εἴπερ οἵδε κινοῦνται λόχοι
πρὸς ἄστυ Θήβης· οὐ γὰρ ἔσθ' ὅπως πόλιν
κείνην ἐρείψεις, ἀλλὰ πρόσθεν αἵματι
πεσεῖ μιανθεὶς χὡ σύναιμος ἐξ ἴσου.
τοιάσδ' ἀρὰς σφῷν πρόσθε τ' ἐξανῆκ' ἐγὼ
νῦν τ' ἀνακαλοῦμαι ξυμμάχους ἐλθεῖν ἐμοί,
ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν
καὶ μὴ 'ξατιμάζητον, ὢ τυφλοῦ πατρὸς
τοιώδ' ἐφύτην· αἵδε γὰρ τάδ' οὐκ ἔδρων.
τοιγὰρ τὸ σὸν θάκημα καὶ τοὺς σοὺς θρόνους
χρανοῦσιν, εἴπερ ἐστὶν ἡ παλαίφατος

1368. *εἰς* mss. *ἐς* Dind. Qu. *εἰσι συμπονεῖν.*

1370. *εἰσορᾷ μὲν οὔ τί πω* A. K. L. *νῦν ὁρᾷ* — B. T. Verba graviter corrupta. "Mire dictum *οὔ τί πω ὡς αὐτίκα.*" (Dind.) Parum hic convenit particula *μέν*. Cf. 1536. *θεοὶ γὰρ εὖ μέν, ὀψὲ δ', εἰσορῶσ', ὅταν* —. Qu. *οὐ δέδρακεν οὐδέπω* | *οἷ' αὐτίκ'* aut *οὐκ ὄπωπεν οὐδέπω* —. *μὲν* mss. *νῦν* Heims. Recte, opinor. *πω*] *που* (*πω* sup. m. pr.) L.

1371. *ὡς αὐτίκ'*] *ἀλλ' αὐτίκ'* conj. Mein.

1373. *ἐρεῖ τις* mss. *ἐρείψεις* Turn. Jebb. *ἐρεῖς σὴν* Heims. Bl. Qu. *λαπάξεις* (Aesch. Sept. 47. 527. Ag. 128.) aut *κρατήσεις*.

1376. *ἀνακαλοῦμαι* mss. Qu. *αὖ καλοῦμαι.* Et sic T. Halbertsma. Cf. 1384. *ἅς* (*ἀρὰς*) *σοι καλοῦμαι* —.

1378. 1379. Versus fortasse interpolati.

1378. Qu. *καὶ μή σφ' ἀτίζειν, ὥσπερ ἐξ ἐσθλοῦ πατρὸς* —. *εἰ* mss. *οἱ* Badham. Correxi *ὤ*.

1379. *τοιώδ'* mss. *τοιοῦδ'* Kuhnhardt. Recte. Sensus requirit *τοιώδ'*, ut ostendunt quae sequuntur. *ἔφυτον* mss. *ἐφύτην* Elmsl. Dind. Nauck. Mihi arridet in secunda persona terminatio *-τον*.

1380. *τὸ σὸν θάκημα*] Qu. *τὸ σὸν σκῆπτρόν τε.* *θρόνους*] *δόμους* F. W. Schmidt.

1381. *κρατοῦσιν* mss. Requiritur futurum. *κρινοῦσιν* Nauck. Lege *χρανοῦσιν* (polluent). Cf. 369. *μηδὲ χραίνεσθαι πόλιν* | *φόνῳ* (*λόγῳ* mss.). 1374. *αἵματι πεσεῖ μιανθείς.* Subaudiendum vero *αἱ ἀραί* (1375. 1384.).

Δίκη ξύνεδρος Ζηνὸς ἀρχαίοις θρόνοις.
σὺ δ' ἔρρ' ἀπόπτυστός τε κἀπάτωρ ἐμοῦ,
κακῶν κάκιστε, τάσδε συλλαβὼν ἀρὰς,
ἃς ἀνακαλοῦμαι, μήτε γῆς ἐμφυλίου
δόρει κρατῆσαι μήτε νοστῆσαί ποτε
τὸ κοῖλον Ἄργος, ἀλλὰ συγγενεῖ χερὶ
θανεῖν κτανόνθ' ὑφ' οὗπερ ἐξελήλασαι.
τοιαῦτ' ἀρῶμαι, καὶ καλῶ τὸ Ταρτάρου
Στύγιον ἀρωγὸν ἔρεβος, ὥς σ' ἀποικίσῃ,
καλῶ δὲ τάσδε δαίμονας, καλῶ δ' Ἄρη
τὸν σφῷν τὸ δεινὸν μῖσος ἐμβεβληκότα.
καὶ ταῦτ' ἀκούσας στεῖχε κἀξάγγελλ' ἰὼν
τοῖς πᾶσι Καδμείοισι τοῖς σαυτοῦ θ' ἅμα
πιστοῖσι συμμάχοισιν οὕνεκ' Οἰδίπους
τοιαῦτ' ἔνειμε παισὶ τοῖς αὑτοῦ γέρα.
ΧΟ. Πολύνεικες, οὔτε ταῖς παρελθούσαις ὁδοῖς
ξυνήδομαί σου, νῦν τ' ἴθ' ὡς τάχος πάλιν.
ΠΟ. οἴμοι κελεύθου τῆσδ' ἐμῆς δυσπραξίας,
οἴμοι δ' ἑταίρων. οἷον ἆρ' ὁδοῦ τέλος
Ἄργους ἀφωρμήθημεν, ὢ τάλας ἐγώ,
τοιοῦτον ὥστε μ' οὐδὲ προσφωνεῖν τινα

1382. ξύνεδρος Ζηνὸς] Qu. πάρεδρος Ζηνὸς, coll. Arist. Av. 1752. πάρεδρον — Διός. Pind. Ol. 8, 20. Διὸς ξενίου πάρεδρος — Θέμις. Soph. Ant. 451. ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη. Idem suadet Nauck. νόμοις mss. θρόνοις recte Bergk.

1385. ἅς σοι καλοῦμαι mss. Qu. ἃς ἀνακαλοῦμαι. Cf. 1376.

1386. δορὶ mss. δόρει Herm. ποτε] Qu. ποτ' ἐς | —.

1388. θανεῖν κτανεῖν θ' mss. θανεῖν κτανόνθ' Bl. Cf. Ant. 1263.

1389. τοῦ mss. τὸ K. corr. Herm. Cf. ad Phil. 1357. Aesch. Pr. 961.

1390. πατρῷον mss. παλαιὸν Mein. κάτωθεν conj. Nauck. Στύγιον ἀρωγὸν conj. Schneid. Quod recepi. Cf. Aesch. Pers. 669. Στυγία — ἀχλύς. Scholiasta per ὕποπτον explicat.

1394. καὶ πᾶσι mss. ἅπασι Mein. τοῖς πᾶσι jure malit Nauck. Qu. πᾶσίν τε. 1395. συμμάχοισιν A. K. L. T. ξυμμάχοισιν B.

1396. αὐτοῦ L. 1399. τῆς τ' mss. Dedi τῆσδ'.

1398. σοι mss. σου Weckl. Jebb. 1399. τῆς τ' mss. Lege τῆσδ'.

1402. οἷον mss. Cf. 870. Tr. 672. τοιοῦτον ἐκβέβηκεν οἷον — ὑμῖν θαῦμ' ἀνέλπιστον δοκεῖν (μαθεῖν mss.). Qui tamen loci paullo

ἔξεσθ' ἑταίρων οὐδ' ἀποστρέψαι πάλιν,
ἀλλ' ὄντ' ἄναυδον τῇδε συγκῦρσαι τύχῃ.
ὦ τοῦδ' ὅμαιμοι παῖδες, ἀλλ' ὑμεῖς γ', ἐπεὶ
τὰ σκληρὰ πατρὸς κλύετε ταῦτ' ἀρωμένου,
μή τοί με πρὸς θεῶν σφώ γ', ἐὰν αἱ τοῦδ' ἀραὶ
ἀνδρὸς τελῶνται καί τις ὑμὶν ἐς δόμους
νόστος γένηται, μὴ 'ξατιμάσητέ με,
ἀλλ' ἐν τάφοισι θέσθε σὺν κτερίσμασι.
καὶ σφῷν ὁ νῦν ἔπαινος, ὃν κομίζετον
τοῦδ' ἀνδρὸς οἷς πονεῖτον, οὐκ ἐλάσσονα
ἔτ' ἄλλον οἴσει τῆς ἐμῆς ὑπουργίας.
ΑΝ. Πολύνεικες, ἱκετεύω σε πεισθῆναί τί μοι.
ΠΟ. ὦ φιλτάτη, τὸ ποῖον, Ἀντιγόνη; λέγε.

diversi sunt. Qu. *ὥστε μ'* aut *οἷόν μ'*. *οὐδὲ*] Qu. *οὔτε*. *φωνῆσαι* mss. Dedi *προσφωνεῖν*. *τινα* mss. *τινι* Tyrwhitt.

1403. *οὐδ'*] Qu. *οὔτ'*.

1404. *συγκῦρσαι* L. pr. *συγκύρσαι* L. corr. et B. K. T.

1405. *ἀλλ' ὑμεῖς* mss. Dedi *ἀλλ' ὑμεῖς γ'*. Cf. 1276.

1406. *τοῦδ'* mss. *ταῦτ'* Sehrwald. Wecklein. Jebb. probat Nauck. Sed cf. v. praec. 1407.

1407. *μή τοι*] Cf. 1439. *σφῶν* (*σφῶϊν* L. K.) *γ' ἂν* mss. *σφώ γ', ἐὰν* Elmsl.

1408. *πατρὸς* mss. *ἐμοὶ* Heims. Dedi *ἀνδρός*. Cf. 1407. *ὑμῖν*] Scribendum *ὑμίν*.

1409. *μή μ' ἀτιμάσητέ γε* mss. *μὴ 'ξατιμάσητέ με* Bl.

1410. Versus Nauckio suspectus. *ἐν τάφοισι θέσθε* mss. Qu. *ἐν τάφῳ* (*ΤΑΦΟΙ*) *τίθεσθε*, aut *ἐς ταφὰς τίθεσθε*. Cf. Ant. 503. *ἐν τάφῳ τιθεῖσα*. Aj. 1110. *τόνδε — ἐς ταφὰς ἐγὼ θήσω*. *τάφον θέσθαι* est O. R. 1447. Attamen pluralis *τάφοι* legitur O. R. 942. 987. El. 443. *κἀν* A. *κ' ἐν* L. K. *καὶ* B. T. *κτερίσμασι* A. B. K. *κτερίσμασιν* L. T. Dedi *σὺν κτερίσμασι*, sed scripserat, opinor, *καὶ κτερίζετε*.

1411 sq. *καὶ σφῷν ὃ* (*ἃ*?) *νῦν πονεῖτον οὐκ ἐλάσσονα | ἔπαινον οἴσει* — conj. Nauck.

1411. *κομίζετον τοῦδ' ἀνδρὸς*] Ab hoc viro reportatis. Pro media forma *κομίζεσθον*. Cf. O. R. 580. *πάντ' ἐμοῦ κομίζεται*.

1412. *τοῦδ' ἀνδρὸς*] Hoc *κομίζετον* pendet. Qu. *τοῦ πατρός*.

1415. *ὦ φιλτάτη, τὸ ποῖον* plerique mss. *τὸ* om. K. L. T. *ὦ φιλτάτη μοι, ποῖον* B. Qu. *ὦ φιλτάτη μοι* (*σύ*), *ποῖον, Ἀντιγόνη;*

ΑΝ. στρέψας στράτευμ' εἰς Ἄργος ὡς τάχιστ' ἄγε,
μὴ καὶ σέ τ' αὐτὸν καὶ πόλιν διεργάσῃ.
ΠΟ. ἀλλ' οὐχ οἷόν τε· πῶς γὰρ αὖθις ἂν πάλιν
στράτευμ' ἄγοιμι τοὐμὸν εἰσάπαξ τρέσας;
ΑΝ. τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι; τί σοι
πάτραν κατασκάψαντι κέρδος ἔρχεται;
ΠΟ. αἰσχρὸν τὸ φεύγειν καὶ τὸ πρεσβεύοντ' ἐμὲ
οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα.
ΑΝ. ὁρᾷς τὰ τοῦδ' οὖν ὡς ἐς ὀρθὸν ἐκφέρει
μαντεύμαθ', ἃ σφῷν θάνατον ἐξ αὐτοῖν θροεῖ;
ΠΟ. χρῄζει γάρ· ἡμῖν δ' οὐχὶ συγχωρητέα.
ΑΝ. οἴμοι τάλαινα· τίς δὲ τολμήσει κλύων
τὰ τοῦδ' ἕπεσθαι τἀνδρός, οἷ' ἐθέσπισεν;
ΠΟ. οὐδ' ἀγγελοῦμεν φλαῦρ'· ἐπεὶ στρατηλάτου
χρηστοῦ τὰ κρείσσω μηδὲ τἀνδεᾶ λέγειν.
ΑΝ. οὕτως ἄρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα;
ΠΟ. καὶ μή μ' ἐπίσχῃς γ'· ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδὸς
ἔσται μέλουσα δύσποτμός τε καὶ κακὴ
πρὸς τοῦ τε πατρὸς τῶν τε τοῦδ' Ἐρινύων·
σφῷν δ' εὖ διδοίη Ζεύς, τάδ' εἰ θανόντι μοι

1416. *στρέψαι* mss. *στρέψας* Badham. *ἐς* mss. *εἰς* Dind. *ὡς τάχιστά γε* mss. *ὡς τάχιστά σε* aut *ὡς τάχος πάλιν* Bl. Cf. 1398. *ὡς τάχιστ' ἄγε* Badham.

1417. *καὶ μὴ* — mss. *ὡς μὴ* Naber. Qu. *μὴ καὶ* —, aut *ἵνα μὴ* —. *γ'* mss. *τ'* Br. Cf. ad 488. O. R. 64. 1418. *αὖ* mss. *ἂν* Vauv.

1419. *ἄγοιμι ταυτὸν* mss. *ἄγοιμι ταῦτ' ἂν* Porson. *ἄγοιμ' εὔτακτον* conj. Nauck. Correxi *ἄγοιμι τοὐμόν*. Qu. *ἄγοιμ' εἰς Ἄργος*.

1424. *τὰ τοῦδ' οὖν*] Qu. *τὰ πατρὸς ὡς* —. *ἐς ὀρθὸν ἐκφέρει*] Qu. *κατ' ὀρθὸν* —. Cf. O. R. 88. *κατ' ὀρθὸν ἐξελθόντα*. 696. Tr. 824. *ἐκφέρει* recte mss. *ἐκφέρεις* Tyrwhitt. Dind. Mein.

1425. *ὃς σφῷν* mss. Lege *ἃ σφῷν*. *ἀμφοῖν* mss. *αὐτοῖν* Bl. probat Nauck. Cf. Ant. 145. *καθ' αὐτοῖν | δικρατεῖς λόγχας στήσαντ' ἔχετον | κοινοῦ θανάτου μέρος ἄμφω*. Versus Nauckio suspectus.

1429. *οὐδ'* A. K. L. *οὐκ* B. T· 1431. *οὕτως ἄρ'*] Qu. *οὕτω γάρ*.

1432. *ἐμοὶ μὲν* A. L. (in litura). *ἐμοί γ'* B. T.

1434. *τοῦδε πατρὸς* mss. Lege *τοῦ τε πατρός*. Idem conj. Mein. *ἐρινύων* L. *ἐριννύων* A. B. K.

1435. *σφῷν δ' εὐοδοίη* mss. *σφὼ δ' εὐοδοίη* Herm. Jebb. *σφῷν*

τελεῖτ', ἐπεὶ οὔ μοι ζῶντί γ' αὖθις ἕξετε.
μέθεσθε δ' ἤδη χαίρετόν τ'· οὐ γάρ μ' ἔτι
βλέποντ' ἐσόψεσθ' αὖθις. ΑΝ. ὦ τάλαιν' ἐγώ.
ΠΟ. μή τοί μ' ὀδύρου. ΑΝ. καὶ τίς ἄν σ' ὁρμώμενον
ἐς προῦπτον Ἅιδην οὐ καταστένοι, κάσι;
ΠΟ. εἰ χρή, θανοῦμαι. ΑΝ. μὴ σύ γ', ἀλλ' ἐμοὶ πιθοῦ.
ΠΟ. μὴ πεῖθ' ἃ μὴ δεῖ. ΑΝ. δυστάλαινά τἄρ' ἐγώ,
ἦν σοῦ στερηθῶ. ΠΟ. ταῦτά γ' ἐν τῷ δαίμονι
καὶ τῇδε κρᾶναι χἀτέρᾳ. σφὼ δ' οὖν ἐγὼ
θεοῖς ἀρῶμαι μή ποτ' ἀντῆσαι κακῶν·
ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν.

κομμός. στρ. α'.

ΧΟ. νέα τάδε νεόθεν ἦλθέ μοι
(μάλα) βαρύποτμα κακὰ παρ' ἀλαοῦ ξένου.
ἦ τις μοῖρά νιν κιγχάνει;

δ' εὖ διδοίη Burges. Mein. Dind. prob. Weckl. Cf. 642. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ. O. R. 1081. Aesch. Cho. 800. Polyb. IV. 21. 11. ἐάν ποτ' αὐτοῖς ὁ θεὸς εὖ δῷ (εὐοδῶ duo mss.). τελεῖτε μοι (sic L. με B.) θανόντ' mss. Correxit Lobeck.

1436. ἐπεὶ οὔ μοι ζῶντί γ' (οὔ με ζῶντά γ' L². Elmsl. Hart.) αὖθις ἕξετον mss. Qu. ἐπεὶ οὔ με ζῶντά γ' εἰσόψεσθ' ἔτι. Sed hoc dicit in v. prox. Versum proscribunt Dind. Mein. aliique. οὔ μοι] Qu. οὔτοι. ἕξετον mss. Dedi ἕξετε.

1440. εἰς mss. ἐς Dind.

1441. πιθοῦ B. T. πείθου K. L.

1443. εἴ σου K. L. T. εἰ σοῦ B. Cf. 509. Aj. 496. O. R. 198. 868. Ant. 710. Ph. 963. Dedi ἢν σοῦ —. ταῦτα δ' ἐν — mss. Dedi ταῦτά γ' ἐν —.

1444. φῦναι mss. κρᾶναι conj. Nauck. Recte, opinor. σφῷν mss. σφὼ Elmsl. Dind. Mein. Jebb. Cf. Aj. 433. τοιούτοις γὰρ κακοῖς ἐντυγχάνω. 509. Tr. 48.

1445. κακῶν A. B. K. L. κακὸν T.

1447. Qu. νέα τάδε νέα πέφηνέ μοι.

1448. (νέα) βαρύποτμα Herm. Malim (μάλα) —.

1450. εἴ τι μοῖρα μὴ κιγχάνει mss. Haec non intelligo. Correxi ἆρα (aut ἦ τις) μοῖρά νιν κιγχάνει; Qu. ἦ σφε μοῖρα νῦν κιγχάνει; Cf. 1472. κιχάνει A. τυγχάνηι L. pr. κιχάνηι corr. κιχάνῃ cet. κιγχάνει Hermann.

ματᾶν γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι.
ὁρᾷ ὁρᾷ πάντ' ἀεὶ χρόνος, ῥέπων μὲν ἔνια,
τὰ δὲ παρ' ἆμαρ αὖθις αὔξων ἄνω.
ἔκτυπεν αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ τέκνα τέκνα, πῶς ἄν, εἴ τις ἔντοπος,
τὸν πάντ' ἄριστον δεῦρο Θησέα πόροι;
ΑΝ. πάτερ, τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς;
ΟΙ. Διὸς πτερωτὸς ἥδε μ' αὐτίκ' ἄξεται
βροντὴ πρὸς Ἅιδην. ἀλλὰ πέμψαθ' ὡς τάχος.

ἀντ. α'.

ΧΟ. ἴδε μάλα μέγας ἐρείπεται
κτύπος ἄφατος ὅδε διόβολος, ἐς δ' ἄκραν
δεῖμ' ὑπῆλθε κρατὸς φόβαν.
ἔπτηξα θυμόν· οὐρανῷ γὰρ ἀστραπὰ φλέγει πάλιν.

1451. *μάτην* mss. *ματᾶν* Bl. Jebb. Qu. *μάταν* (aut *ματᾶν*, coll. Aesch. Eum. 137. *ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ*), aut *μάταιον οὐδὲν* —. *ἀξίωμα*] Propositum, consilium.

1453. *ὁρῶν πάντ' ἀεὶ χρόνος ἔκλινεν ἕτερα, τὰ δ' ἐξῆρεν αὖθις αὔξων ἄνω* Herw. Cf. Aj. 131. *ὡς ἡμέρα* (*ἦμαρ ἕν*?) *κλίνει τε κἀνάγει πάλιν* | *ἅπαντα τἀνθρώπεια*. O. R. 1213. *ὁ πάνθ' ὁρῶν χρόνος*. Fr. 280, 2. *ὁρᾷ δ' ὁρᾷ* Bergk. *ταῦτ'* mss. *πάντ'* Dind.

1454. *ἐπεὶ μὲν ἕτερα* (*ἑτέρα* L. pr.) mss. Correxi *ῥέπων μὲν ἔνια*. *ἐπεὶ* mss. *στρέφων* Hart. Nauck. Jebb. Dedi *ῥέπων* (deprimens). Cui mox opponitur *αὔξων* (*αἴρων*? tollens). Cf. Ant. 1158. *τύχη γὰρ ὀρθοῖ καὶ τύχη* (*πάλιν*?) *καταρρέπει* (*κάτω ῥέπει*) | *τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί*. Utique requiritur participium aliquid. Schol. *τρέπων*.

1455. *τὰ δ' αὖθις παρ' ἦμαρ* Mein., coll. v. ant. 1470. *τάδε πήματ'* A. K. L. T. *τάδ' ἐπ' ἤματ'* B. V. *τὰ δὲ παρ' ἦμαρ* correctum ex schol. Lege *τὰ δὲ* (aut *εἶτα*) *παρ' ἆμαρ*. *αὔξων* mss. Qu. *αἴρων*. Cf. tamen 1567. *πάλιν σφε δαίμων δίκαιος αὔξοι*.

1459. *ἐφ' ᾧ καλεῖς*] Qu. *ἐφ' ὅ με καλεῖς*.

1460. *πτερωτὸς*] Mirum *βροντῆς* epithetum. Jebb. confert Virg. Aen. 5, 319. 'et ventis et fulminis ocior alis.'

1461. *βροντὴ*] Qu. *στεροπή*. Sed cf. 1514. Ph. 1199. *βροντᾶς αὐγαῖς*.

1466. *ἔπτηξα θυμόν*] Qu. *ἔπτηξ' ἄφωνος*. *οὐρανία* mss. Lege

τί μάν; αφήσει βέλος; δέδια δ'· ουχ ἅλιον
ἐφορμᾷ ποτ' οὐδ' ἄνευ ξυμφορᾶς.
ὦ μέγας αἰθήρ, ὦ Ζεῦ.
ΟΙ. ὦ παῖδες, ἥκει τῷδε τἀνδρὶ θέσφατος
βίου τελευτὴ, κοὐκέτ' ἔστ' ἀποστροφή.
ΑΝ. πῶς οἶσθα τοῦτο; τῷ δὲ συμβαλὼν ἔχεις;
ΟΙ. καλῶς κάτοιδ', ἀλλ' ὡς τάχιστά μοι μολὼν
ἄνακτα χώρας τῆσδέ τις πορευσάτω.

στρ. β'.

ΧΟ. ἔα ἔα, [ἰδου] μάλ' αὖθις ἀμφίσταται
διαπρύσιος ὄτοβος.
ἵλαος, ὦ δαίμων, ἴσθι μοι, εἴ τι γᾷ

οὐρανῷ (οὐρανῶι). Cf. El. 174. ἔτι μέγας οὐρανῷ (ἐν οὐρανῷ mss.) Ζεύς. Aesch. Fr. 159. ἐμὸς δὲ πότμος οὐρανῷ κυρῶν ἄνω κτλ. Eur. Med. 144. διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη. ἀστραπὴ mss. Dedi ἀστραπά.

1468. τί μὰν ἀφήσει (ἀφῆς pr. ἀφ' ἧς corr. ἀφήσει sup. in L.) τέλος mss. Et sic Burges. Dind. Jebb. Scrib. τί μάν; ἀφήσει βέλος; aut τί μὰν ἐπάξει τέλος; coll. Aesch. Sept. 157. ποῖ δ' ἔτι τέλος ἐπάγει; 156. τί γενήσεται; τέλος mss. Lege βέλος (Angl. bolt). Cf. 1515. Tr. 1087. ἐγκατάσκηψον· βέλος κεραυνοῦ. Aesch. Pr. 358. Ζηνὸς ἄγρυπνον βέλος. 917. πυρπνόον βέλος. Sept. 513. διὰ χερὸς βέλος φλέγων. 453. κεραυνοῦ δέ νιν βέλος ἐπισχέθοι.

1469. δέδια A. B. δέδεια (L. K.) mss. δέδοικα Nauck. Jebb. τόδ' mss. δ' Tricl. Qu. γ'. οὐ γὰρ ἅλιον mss. Qu. οὐχ ἅλιον. ἅλιον] Sc. βέλος. Cf. Aesch. Ag. 366.

1470. ἀφορμᾷ (ε sup. a pr. m., ut vid.) L. ἐφορμᾷ Heimsoeth. οὐδ' B. pr. Heath. οὐκ B. corr. K. L. T.

1472. τῷδ' ἐπ' ἀνδρὶ mss. τῷδε τἀνδρὶ Bl. Cf. Tr. 1257.

1474. ΧΟ. praef. mss. (L. sec. m.) ΑΝ. Turn. οἶσθα A. K. L. οἶσθα τοῦτο B. T. Qu. πῶς οἶσθα; τῷ δὴ τοῦτο —; συμβαλὼν L. ξυμβαλὼν K. τῷ δὲ —] Qu. τῷ δὴ —. πάτερ post ἔχεις addidit Dind.

1476. τῆσδε] δεῦρο conj. Nauck. Fortasse recte.

1477. ἔα ἔα [ἰδοὺ] Gleditsch. Qu. ἰδοὺ ἰδοὺ —.

1480. ἵλαος, εἴ τι — mss. ἵλεως (_ _) conj. Mein. Qua forma semper utitur Soph. Cf. 44. El. 1276. ἵλεως αὐτοῖν κλύε. 655. Qu. ἴσθι μοι, εἴ τι —.

μα τέρι τυγχάνεις ἀφεγγὲς φέρων.
ἐναισίου δέ σου τύχοιμι μηδ' ἄλαστον ἄνδρ' ἰδὼν
ἀκερδῆ χάριν μετάσχοιμί πως.
Ζεῦ ἄνα, σοὶ φωνῶ.

ΟΙ. ἆρ' ἐγγὺς ἀνήρ; ἆρ' ἔτ' ἐμψύχου, τέκνα,
ἀφίξεταί μου καὶ κατορθοῦντος φρένα;
ΑΝ. τί δ' ἂν θέλοις τὸ πιστὸν ἐμφῦσαι, πάτερ;
ΟΙ. ἀνθ' ὧν ἔπασχον εὖ τελεσφόρον χάριν
δοῦναί σφιν ἥνπερ ἀρτίως ὑπεσχόμην.

ἀντ. β'.

ΧΟ. ἰὼ ἰώ, παῖ, βᾶθι βᾶθ', εἰ 'ν ἄκρῳ
γυάλῳ ἐναλίῳ
Ποσειδωνίῳ θεῷ τυγχάνεις

1481. ἀφεγγὲς] Cf. 1549. ὦ φῶς ἀφεγγές. Suspectum. Qu. ἀτερπὲς aut ἄφραστον. Cf. ad Aesch. Pr. 115.

1482. συντύχοιμι mss. σου τύχοιμι Bl. Cobet. Malim σου τύχοιμι. Cf. O. R. 677. σοῦ μὲν τυχὼν ἀγνῶτος, —. Ph. 320.

1485. ἄνα] Vocativus nominis ἄναξ ex epicorum usu. Solus tragicorum eo semel usus est Sophocles.

1487. κιχήσεται mss. Suspectum, quia verbum κιγχάνειν accusativum regit. Sic Aesch. Cho. 612. κιγχάνει δέ νιν Ἑρμῆς. Qu. δεῦρ' (aut ὧδ') ἵξεται, aut ἀφίξεται (ἐλεύσεταί) μου (sub. ὄντος), aut ἔμψυχον — κιχήσεταί με καὶ κατορθοῦντ' ἐς φρένα.

1488. τὸ πιστὸν mss. Qu. πιστὸν τόδ'. ἐμφῦναι mss. ἐμφῆναι Nauck. ἐμφῦσαι Herm. Herw. Scholiasta per ἐμβαλεῖν explicat. Cf. ad 1113. φρενί mss. ξένῳ Wund. φράσον conj. Nauck. φρενὶ hic scripsisse poetam valde improbabile est. Correxi πάτερ.

1490. τυγχάνων] Jure suspectum Nauckio. ἐμφανεῖν Wecklein. ἀρτίως Bl. ex schol. 1491—1494. Versus graviter corrupti.

1491. Alterum ἰὼ addidit Herm. παῖ βᾶθι mss. πρόβαθι Mein. Qu. ἰὼ βᾶθι βᾶθ'. Post βᾶθ' lacunam (⏑ ⏑́ – ⏑ –) indicat Dind. εἴτ' ἄκραν ἐπὶ γύαλον A. T. εἴτ' ἄκραν ἐπιγύαλον B. K. et (relicto post h. v. plurium litterarum spatio) L. εἴτ' ἄκρον — Vauv. Dind. εἴτ' ἄκρα περὶ γύαλ' (i. e. in extrema nemoris sacri parte) Jebb. Locus nondum emendatus. Dedi εἰ 'ν ἄκρῳ γυάλῳ.

1494. Ποσειδαωνίῳ θεῷ plerique omnes mss. Ποσειδαονίῳ — unus ms. Dind. Ποσειδανίῳ Bergk. Mein. Verba vix sana. Qu. Ποσει-

βούθυτον ἑστίαν ἁγίζων, ἱκοῦ.
ὁ γὰρ ξένος σε καὶ πόλισμα καὶ φίλους ἐπαξιοῖ
δικαίαν χάριν παρασχεῖν παθών.
(θᾶσσον) ἄϊσσ', ὦναξ.

ΘΗ. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος,
σαφὴς μὲν ἀστῶν, ἐμφανης δὲ τοῦ ξένου;
μή τις Διὸς κεραυνὸς ἤ τις ὀμβρία
χάλαζ' ἐπιρράξασα; πάντα γὰρ θεοῦ
τοιαῦτα χειμάζοντος εἰκάσαι πάρα.

ΟΙ. ἄναξ, ποθοῦντι προυφάνης, καί σοι θεῶν
τύχην τις ἐσθλὴν τῆσδ' ἔθηκε τῆς ὁδοῦ.

ΘΗ. τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;

ΟΙ. ῥοπὴ βίου μοι, καί σ' ἅπερ ξυνήνεσα
θέλω πόλιν τε τήνδε μὴ ψεύσας θανεῖν.

ΘΗ. ἐν τῷ δὲ κεῖσαι σοῦ μόρου τεκμηρίῳ;

δῶνι νῦν —, nisi hic latet glossema *Ποσειδῶνι*. Cf. 1285. *θεῷ τυγχάνεις* mss. *θεῷ* [*τυγχάνεις*] Herm. Dind.

1495. *ἑστίαν*] Fort. *ἐσχάραν*. *ἵκου* mss. *ἱκοῦ* Elmsl.

1499 *ὡς τάχος* supplet Heims. *ᾆσσέ νυν, ᾆσσ'* Gleditsch. *θᾶσσον ἄϊσσ'* F. W. Schmidt, coll. 890. *δεῦρ' ἧξα θᾶσσον. σπεῦσον, ἄϊσσ', ὦναξ* Jebb. Qu. *δεῦρ'* (aut *ἀλλ'*) *ἴθ' ἄϊσσ', ὦναξ*. Qu. *ᾆσσε ᾆσσε τάχιστ', ὦναξ*, aut *ὡς τάχος ᾆσσ', ὦναξ*. Lacunam indicat Dind. *ἄϊσσ'* mss. *ᾆσσ'* Elmsl. Sed in melicis praestat forma soluta *ἄϊσσε*.

1500. *κοινὸς*] *καινὸς* F. W. Schmidt. *ἠχεῖται*] Qu. *ἵσταται* (cf. 1478. Ph. 1263.), sed Tr. 866. *ἠχεῖ τις — κωκυτόν*. 643. *ἀχῶν καναχάν*. Cf. Arist. Th. 995. *ἀμφὶ δέ σοι κτυπεῖται — ἠχώ*. Pl. 758.

1501. *αὐτῶν* mss. *ἀστῶν* Reisk. Dind. Mein. Weckl. Cf. 13. *μανθάνειν γὰρ ἥκομεν | ξένοι παρ' ἀστῶν*. Versum damnat Nauck.

1502. *μή τις*] Qu. *ἦ τις* aut *μῶν τις*.

1506. *θῆκε τῆσδε* mss. *τῆσδ' ἔθηκε* Heath.

1507. *τί δ' ἐστὶν* (sic) recte K. L. T. *τί δ' ἐστιν* B. *τί δ' ἔστιν* Wund. *νέορτον*] Cf. Tr. 894. *ἁ νέορτος — νύμφα*. Qu. *νεοχμόν*. Cf. Ph. 751. *τί δ' ἐστὶν οὕτω νεοχμὸν ἐξαίφνης;*

1510. *ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ* mss. *καὶ τῷ πέπεισαι* — conj. Jebb. (coll. Eur. Hel. 1190. *ἐννύχοις πεπεισμένη | στένεις ὀνείροις*.) *ἐν τῷ δὲ κεῖταί σοι μόρου τεκμήριον;* F. W. Schmidt. *ἐν τῷ δὲ κεῖται σοῦ μόρου τεκμήριον;* J. van Delden. In his vitiosum videtur *κεῖσαι*. Qu. *καὶ τῷ* (*τῷ γὰρ*) *πέποιθας* —. (Quod satis facile in codicum lectionem corrumpi poterat. Corrupto *πέποιθας* in

ΟΙ. αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι,
ψεύδοντες οὐδὲν σῆμα τῶν προκειμένων.
ΘΗ. πῶς εἶπας, ὦ γεραιὲ, δηλοῦσθαι τάδε;
ΟΙ. δηλοῦσι βρονταὶ διατελεῖς τὰ πολλά τε
σκήψαντα χειρὸς ἐξ ἀνικήτου βέλη.
ΘΗ. πείθεις με· πολλὰ γάρ σε θεσπίζονθ' ὁρῶ
κοὐ ψευδόφημα· χὤ τι χρὴ ποιεῖν λέγε.
ΟΙ. ἐγὼ διδάξω, τέκνον Αἰγέως, ἅ σοι
γήρως ἄλυπα σῇ τε κείσεται πόλει.
χῶρον μὲν αὐτὸς αὐτίκ' ἐξηγήσομαι,
ἄθικτος ἡγητῆρος, οὗ με χρὴ θανεῖν.
τοῦτον δὲ φράζε μή ποτ' ἀνθρώπων τινὶ,
[μήθ' οἷ κέκευθε μήτ' ἐν οἷς κεῖται τόποις·]

δὲ κεῖσαι, postea facta fuerit alia corruptela ἐν τῷ pro καὶ τῷ.) Quod si recte se habet lectio vulgata, cf. 248. ἐν ὑμῖν ὡς θεῷ κείμεθα. 1474. Aj. 323. ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ. 1306. ἐν πόνοισι κειμένους. Tr. 82. ἐν — ῥοπῇ τοιᾷδε κειμένῳ. El. 1186. Eur. Hel. 1195. ἐν τῷ δὲ κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;

1512. σημάτων mss. σῆμα τῶν Dind. Mein. προκειμένων] Suspectum. πεπρωμένων conj. Nauck.

1514. αἱ πολλαὶ L. K. αἱ πολλὰ A. B. T. δηλοῦσι Bl. Mein. Nauck. prob. Dind. (δηλοῦσαι — διατελοῦσι jam Fröhlich.) Ita Oedipi responsum melius cum Thesei interrogatione congruit. Sero video eandem correctionem proposuisse Reiskium et recepisse Wecklein. Jebb confert Phil. 254. ὦ πόλλ' ἐγὼ μοχθηρός. Ant. 1046. οἱ πολλὰ δεινοί. Tentabam olim αἱ σφόδρα βρονταὶ sed recipienda est proculdubio altera conjectura, quae sensui apprime convenit.

1515. στρέψαντα mss. στράψαντα Pierson. vulg. σκήψαντα Forster. Nauck. Recte. Cf. 28. Tr. 1087. ἐγκατάσκηψον βέλος κεραυνοῦ. χειρὸς τῆς ἀνικήτου mss. Lege χειρὸς ἐξ ἀνικήτου.

1517. χρὴ A. χρῆν B. K. L.

1519. γήρως ἄλυπα] Nauckio suspectum. Qu. γήρως ἄθικτα. Sed cf. 1765. κακῶν — ἄλυπον. El. 1002. ἄλυπος ἄτης. τῇδε κείσεται] γρ. σῇ τε κείσεται ab S., ut videtur, in L. Recte, opinor.

1520. χῶρον μὲν] Qu. ἐς χῶρον. Vix enim omitti potest praepositio. ἐξηγήσομαι] Cf. 1589. αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος.

1522. τοῦτον mss. τύμβον olim Schneid. Nauck.

1523. Qu. κέκευθα — κεῖμαι. Sed versum jure damnat Herw.

ὥς σοι πρὸ πολλῶν ἀσπίδων ἀλκὴν ὅδε
δορός τ' ἐπακτοῦ γειτονῶν ἀεὶ τιθῇ.
ἃ δ' ἔσθ' ἁγιστὰ μηδὲ κινεῖται λόγῳ
αὐτὸς μαθήσει, κεῖσ' ὅταν μόλῃς, μόνος·
ὡς οὔτ' ἂν ἀστῶν τῶνδ' ἂν ἐξείποιμί τῳ
οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς στέργων ὅμως.
ἀλλ' αὐτὸς ἀεὶ σῶζε, χὤταν ἐς τέλος
τοῦ ζῆν ἀφικνῇ, τῷ προφερτάτῳ γόνῳ
σήμαιν', ὁ δ' ἀεὶ τὠπιόντι δεικνύτω.
χοὔτως ἀδῇον τήνδ' ἐνοικήσεις πόλιν
σπαρτῶν ὑπ' ἀνδρῶν· αἱ δὲ μυρίαι πόλεις,

1525. γειτονῶν L. corr. a m. rec. K. T. corr. γειτόνων B. L. pr.

1526. ἃ δ' ἐξάγιστα mss. Correxi ἃ δ' ἔσθ' ἁγιστά. Hermannus explicat quae piaculum est dicere. Et Hesychius, ex hoc loco haud dubie citans, ἐξάγιστα explicat per πάντα τὰ ἱερὰ καὶ ἀφωσιωμένα, ἃ οὐχ οἷόν τε ἐκκομίζεσθαι τῶν ἱερῶν. ἔνιοι δὲ ἁγνὰ ἀπέδοσαν. Necessarium hic videtur esse verbum ἐστί. Corruptam scripturam lexicographum fefellisse suspicor. Simplex verbum ἁγίζειν legitur supra 1495. βούθυτον ἑστίαν ἁγίζων (sacrans), et ἁγιστεύειν Eur. Bacch. 74. κινεῖται mss. κινεῖν δεῖ aut κινεῖσθαι θέμις conj. Nauck. Cf. 624. ἀλλ' οὐ γὰρ αὐδᾶν ἡδὺ τἀκίνητ' ἔπη, | ἔα με —. Vix sana videtur vulgata.

1530. σῶιζε L. εἰς mss. ἐς Dind. ἀεὶ A. K. Dind. αἰεὶ B. L. T.

1531. μόνῳ mss. Dind. Jebb. γόνῳ conj. Nauck. Herw. ex schol. τῷ πρεσβυτάτῳ υἱῷ. Qu. γονῇ (by birth).

1532. αἰεὶ mss. ἀεὶ Dind. Cf. ad 1530.

1533. ἐνοικήσεις] Confer v. ἐνναίειν. Praestat forsan ἂν οἰκήσαις. Cf. ad El. 798.

1534. ἀπ' ἀνδρῶν mss. Dind. ὑπ' ἀνδρῶν Mein. Herw. αἱ δὲ μυρίαι πόλεις] οἱ δὲ μυρίοι πόλεως Weckl. Tentabam μωρίᾳ γὰρ αἱ πόλεις. Civitatae pleraeque omnes reddit Mein. Scholiasta per πολλαὶ πόλεις explicat. Facilius intellectu foret αἱ δὲ πλεῖσται τῶν πόλεων. Sed usitata locutio Atticorum videtur fuisse οἱ μυρίοι pro simplici μυρίοι, similiter fere ut nos dicimus 'one in a thousand.' Sic Xen. Anab. II. 1. 19. ἐγώ, εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἔστι σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα. Quem locum commode apposuit Jebb. Ubi, quod ad sensum attinet, omitti potuisset articulus τῶν. Cf. 618. ὁ μυρίος χρόνος. μυρίαι] Nauckio suspectum. κύριαι Nitzsch.

κἂν εὖ τις οἰκῇ, ῥᾳδίως καθύβρισαν.
θεοὶ γὰρ εὖ μὲν, ὀψὲ δ' εἰσορῶσ', ὅταν
τὰ θεῖ' ἀφεὶς τις ἐς τὸ μαίνεσθαι τραπῇ·
ὃ μὴ σὺ, τέκνον Αἰγέως, βούλου παθεῖν.
τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν·
χῶρον δ', ἐπείγει γάρ με τοὐκ θεοῦ πτερὸν,
στείχωμεν ἤδη μηδ' ἔτ' ἐντρεπώμεθα.
ὦ παῖδες, ὧδ' ἕπεσθ'· ἐγὼ γὰρ ἡγεμὼν
σφῷν αὖ πέφασμαι καινὸς, ὡς πρὶν σφὼ πατρί.
χωρεῖτε καὶ μὴ ψαύετ', ἀλλ' ἐᾶτέ με
αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν, ἵνα
μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονί.
τῇδ' ὧδε, τῇδε βᾶτε· τῇδε γάρ μ' ἄγει
Ἑρμῆς ὁ πομπὸς ἥ τε νερτέρα θεός.
ὦ φῶς ἀφεγγὲς, πρόσθε πού ποτ' ἦσθ' ἐμὸν,
νῦν δ' ὕστατόν σου τοὐμὸν ἅπτεται δέμας,
ἤδη γὰρ ἕρπω τὴν τελευταίαν ὁδὸν

1535. *κἂν εὖ τις οἰκῇ*] Subaudiendum *πόλις*. Cf. Eur. Fr. 200. *γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,* | *εὖ δ' οἶκος*. Suspectum. Qu. *κἂν εὖ τις ἄρχῃ*.

1536. Cf. 1370. *τοιγάρ σ' ὁ δαίμων εἰσορᾷ μὲν* (?) *οὔ τί πω* | *ὡς αὐτίκ'* (sub. *ὄψεται*). 1537. *εἰς* mss. *ἐς* Dind.

1540. *παρὸν* mss. *πτερὸν* Matthiae. Recte, opinor. Cf. 97. *πιστὸν ἐξ ὑμῶν πτερόν*. Qu. *τοὐκ θεοῦ καλοῦν*. Cf. 1629.

1541. *μὴ δέ γ'* (*μηδέν γ'* A. R.) mss. *μηδ' ἔτ'* Reisig. Herm. Dind. *ἐντρεπώμεθα*] Jebb vertit hesitate, coll. Polyb. 31, 12. *μηδ' ἐπιστρεφώμεθα* Campbell. ex schol.

1543. *ὥσπερ* mss. *ὡς πρὶν* Porson. Recte, ni fallor.

1544. *καὶ μὴ ψαύετ'*] Qu. *μή μου ψαύετ'*.

1545. *ἱερὸν* mss. *ἱρὸν* Dind.

1550. *ἔσχατον* mss. Dedi *ὕστατον*.

1551. *τὸν τελευταῖον βίον* mss. Suspectum. *τὴν τελευταίαν* (sc. *ὁδὸν*), *βίον* Musgr. Mein. *τόνδε δείλαιον βίον* Martin. *τὸν ταλαίπωρον βίον* F. G. Schmidt. (Felix correctio: cf. 91. *ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον*.) *τὴν τελευταίαν ὁδὸν* | *κεύσων* (gl. *κρύψων*) *παρ' Ἅιδην* conjicit Dind. Cf. Tr. 155. *ὁδὸν — τὴν τελευταίαν — ὡρμᾶτ' ἀπ' οἴκων*. Aj. 634. *παρ' Ἅιδᾳ κεύθων*. O. R. 968. *ὁ δὲ θανὼν* | *κεύθει κάτω δὴ γῆς*. Ant. 911. Hom. Il. 23, 244.

κεύσων παρ' Ἅιδην· ἀλλά, φίλτατε ξένων,
αὐτός τε χώρα θ' ἥδε πρόσπολοί τε σοὶ
εὐδαίμονες γένοισθε κἀν εὐπραξίᾳ
μέμνησθέ μου θανόντος εὐτυχεῖς ἀεί.

στρ.

ΧΟ. *εἰ θέμις ἐστί μοι τὰν ἀφανῆ θεὸν*
καὶ σὲ λιταῖς σεβίζειν,
ἐννυχίων ἄναξ,
Αἰδωνεῦ Αἰδωνεῦ, ἱκνοῦμαι
μὴ 'πιπόνῳ μηδέ τι βαρυαχεῖ
ξένον ἐξανύσαι
μόρῳ τὰν παγκευθῆ κάτω
νεκρῶν πλάκα καὶ Στύγιον δόμον.

1552. *κρύψων* mss. Qu. *κεύσων* aut *λύσων* (coll. 1720. *ἔλυσεν τὸ τέλος — βίου*). Futurum *κεύσω* legitur Hom. Od. 3, 187.

1554. *κἀπ' εὐπραξίᾳ* mss. Dedi *κἀν εὐπραξίᾳ*.

1555. *μεμνῆσθ'* (opt.) Elmsl. Recte, opinor, se habet imperativus.

1556. *ἀφανῆ*] Qu. *χθονίαν*.

1557. *σεβίζειν*] *σέβειν* (et *πύλαις* in 1569.) Heims.

1559. *'Αϊδωνεῦ* bis mss. *Αἰδωνεῦ* bis Herm. Scribendum forsan *Ἁιδωνεῦ* (*ᾁδωνεῦ*) —. Forma tetrasyllaba occurrit Hom. Il. 5, 190. *'Αϊδωνῆϊ προϊάψαι*. Hesiod. Theog. 913. Aesch. Pers. 654. *'Αϊδωνεὺς δ' ἀναπομπὸς ἀνείης*.

1560. *λίσσομαι* mss. Suspectum. *αἰτοῦμαι* Reisig. Mein. *νεῦσόν μοι* conj. Jebb., coll. Phil. 484. Pind. P. 1, 71. Lege *ἱκνοῦμαι*. Et sic Wecklein. Cf. 275. 1010. El. 136. Requiritur molossus (cf. v. ant. 1571.).

1561. *μήτ' ἐπιπόνω* (sic) L. K. *μήποτ' ἐπίπονα* A. B. R. L². *ἄπονα μηδ'* Weckl. Jebb. *μὴ ἐπιπόνῳ* Bergk. Mein. Prius *μήτ'* deleri vult Seidler. Qu. *ἄπονα μὴ 'πιπόνῳ*. Cf. 1585. *θείᾳ κἀπόνῳ — τύχῃ* (*βίοτον ἔλιπε*); Tr. 830. *ἐπίπονον λατρείαν*. 654. *ἐπιπόνων ἁμερᾶν*. In v. ant. 1572. respondet *ἀδάματον φύλακα παρ' 'Αΐδᾳ*.
μήτ' ἐπιβαρυαχεῖ (sic) L. Lege *μηδέ τι βαρυαχεῖ* (ᾰ). Cum *βαρυαχής* (ᾰ) confer *βαρυάλγητος* Aj. 199. et *δυσαχής* (Aesch. Eum. 145.).

1562. *ξένον*] Sine articulo, ut in 1637. *ἐκτανύσαι* mss. *κατανύσαι* schol. *ἐξανύσαι* Vauv. Br. Dind. Cf. Ant. 805 sq. Aj. 606 sq.

1564. *νεκύων* mss. *νεκρῶν* Tricl. *Στύγιον δόμον*] Qu. *Στύγιον δῶμα*. Cf. El. 110. *ὦ δῶμ' 'Αΐδου καὶ Περσεφόνης*. Requiritur enim ⏑ ⏑ – – –. Cf. v. ant. 1575. Qu. *Στύγιον πόρον*.

πολλῶν γὰρ ἂν καὶ κακῶν
πημάτων γεγευμένον
πάλιν σφε δαίμων δίκαιος αὔξοι.
ἀντ.
ὦ χθόνιαι θεαὶ σῶμά τε δυσμάχου
θηρὸς, ὃν ἐν πύλαισιν
ταῖσι πολυξένοις
εὐνᾶσθαι κνυζεῖσθαί τ' ἐξ ἄντρων
ἀδάματον φύλακα παρ' Ἀΐδᾳ
λόγος ἐστὶν ἀεὶ,
τόδ', ὦ Γᾶς παῖ καὶ Ταρτάρου,
κατεύχομαι, ἐν καθαρῷ βῆναι

1565. *καὶ μάταν* mss. Suspectum Nauckio. Redde sine causa, immerito. Cf. 1451. Sed legendum suspicor *καὶ κακῶν*. *Πολλὰ καὶ κακὰ* enim valet i. q. *πολλὰ κακὰ*, multa mala. *ἱκνουμένων* mss. Suspectum. *κυκλουμένων* Heims. Dedi *γεγευμένον*. Cf. Tr. 1101. *ἄλλων τε μόχθων μυρίων ἐγευσάμην*. Aj. 844. Ant. 1005. Ant. 583. *οἷσι κακῶν ἄγευστος αἰών*. Aut *τετλημένων*. Aut *πολλοῖς γὰρ ἂν καὶ λυγροῖς* (O. R. 185. *λυγρῶν πόνων*. Ph. 1424.) *πήμασιν κακούμενον* —.

1567. *σε* mss. *σφε* Reisk.

1568. *χθόνιαι θεαὶ*] Nonne *χθόνιοι θεοί*? Cf. Eur. Or. 620. *οἱ νέρτεροι θεοί*. *σῶμά τ' ἀνικάτου* mss. Suspectum. Requiritur *σῶμά τ'* ◡ – ◡ –. Qu. *σῶμά τ' ἀμαχάνου* (Herm.), aut potius *σῶμά τε δυσμάχου* (gl. *ἀνικήτου*).

1569. *πύλαισι* mss. Dedi *πύλαισιν*. Cf. v. str. 1558.

1570. *φασὶ* mss. *ταῖσι* Bergk. Herw. Jebb. prob. Mein. Glossema est *φασί*. Schol. *λείπει τὸ φασί*. *πολυξέστοις* mss. *πολυξένοις* Musgr. Cf. Aesch. Suppl. 157. *τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων*.

1571. *κνυζεῖσθαι* A. K. L. *κνυζᾶσθαι* B. et (sup. *ει*) T. Cf. Fr. 646. *κνυζούμεναι*. Eadem lectionis varietas est Arist. Vesp. 977. Theocr. 2, 108.

1572. *ἀδάμαστον* mss. *ἀδάμαντος* B. *ἀδάματον* Br. *Ἀΐδᾳ* mss. *Ἅιδᾳ* Elmsl. Dind. Jebb.

1573. *αἰὲν ἀνέχει* A. B. K. L. *αἰὲν ἔχει* T. Correxi *ἐστὶν ἀεί*.

1574. *ὃν* mss. *τὸν* Herm. Mein. Dind. Jebb. *τόδ'* Hart. *ἵν'* Weckl. *δὸς* Nauck. Si vera est conjectura *ἵν'*, legendum erit in 1575. *βῆναί* (*σ'*). Corrigendum forsan *σέ τοι, Γᾶς παῖ* —.

1575. *ἐν καθαρῷ βῆναι*] Viam puram (*καθαρὰν*) ire, i. e.

ὁρμώμενον νερτέρας
τὸν ξένον νεκρῶν πλάκας.
σέ τοι κικλήσκω τὸν αἰὲν ἄυπνον.

ΑΓΓΕΛΟΣ.

ἄνδρες πολῖται, ξυντομώταθ' ὑμὶν ἂν
τύχοιμι λέξας Οἰδίπουν ὀλωλότα,
ἃ δ' ἦν τὰ πραχθέντ' οὐχ ὁ μῦθος ἐν βραχεῖ
φράσαι πάρεστιν οὐδὲ τἄλλ' ὅσ' ἦν ἐκεῖ.
ΧΟ. ὄλωλε γὰρ δύστηνος; ΑΓ. ὡς λελοιπότα
κεῖνον τὸν αὑτοῦ βίοτον ἐξεπίστασο.

viam puram praebere (Oedipo), ἐκποδὼν ἐκστῆναι, ita ut nihil ei obstet. Anglice, may leave a clear way. Cf. Aj. 672. ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος | τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν. Pind. Ol. 6, 23. κελεύθῳ τ' ἐν καθαρᾷ βάσομεν ὄκχον. Hom. Il. 8, 491. ἐν καθαρῷ (in puro spatio). Herod. 1, 202. ῥέει διὰ καθαροῦ (de flumine). Arist. Eccl. 320. ἀλλ' ἐν καθαρῷ ποῦ ποῦ τις ἂν χέσας τύχοι; Sensus quidem satis planus est, sed locutio ipsa involuta et obscura. Quum longe melius Oedipo quam Cerbero conveniant verba ἐν καθαρῷ βῆναι, corrigendum suspicari licet τόδ' (Hart.) — | κατεύχομαι, ἐν καθαρῷ βῆναι | ὁρμώμενον — τὸν ξένον κτλ. Ita omnis difficultas amovetur. Sed pro βῆναι metro postulatur ⏑ – (cf. v. str. 1564). βῆναι mss. μολεῖν Herm. Requiritur enim iambus. Cf. tamen ad v. str. 1564. Qu. βῆναί σ', aut 'κστῆναι' σ'. Scholiasta ἀβλαβῶς ὑπαντῆσαι explicat.

1576. ὁρμωμένῳ — τῷ ξένῳ mss. Qu. ὁρμώμενον — τὸν ξένον.

1578. αἰὲν ἄυπνον A. B. K. αἰὲν ἄυπνον L. pr. αἰένυπνον L. corr. hoc etiam schol. Suid. Eust. Herm. Mein. αἰὲν ἔνυπνον T.

1579. ξυντομωτάτως μὲν ἂν mss. ξυντομώτατον (?) μὲν ἂν Elmsl. (coll. Fr. 245. συντομώτατον δ' εἰπεῖν, ubi tamen συντομώτερον recte C. et Eust.) Jebb. Simile exemplum superlativi desidero. Correxi ξυντομώταθ' ὑμὶν ἂν —. Qu. ξυντόμως μὲν ὑμὶν ἂν —, aut ξυντομώτατ' ἂν τόδε —. Scholiasta ξυντομώτατος legisse videtur.

1581. οὔθ' ὁ (οὔτ' ὁ M. οὕτω A. pr.) — οὔτε mss. Correxi οὐχ — οὐδέ.

1582. οὔτε mss. Qu. οὐδέ. τἄργ' mss. Dedi τἄλλ'.

1583. λελοιπότα] λελογχότα conj. Mudg. Mein.

1584. τὸν ἀεὶ βίοτον mss. Vitiosum. τὸν ἄβιον βίοτον conj. Nauck. τὸν ἐν φάει βίοτον ἐπίστασο conj. Herw. τὸν ἄρτι — conj.

ΧΟ. πῶς; ἆρα θείᾳ κἀπόνῳ τάλας τύχῃ;
ΑΓ. τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον.
ὡς μὲν γὰρ ἐνθένδ' εἷρπε καὶ σύ που παρὼν
ἐξοισθ', ὑφηγητῆρος οὐδενὸς φίλων,
ἀλλ' αὐτὸς ἡμῖν πᾶσιν ἐξηγούμενος·
ἐπεὶ δ' ἀφῖκτο τὸν καταρράκτην ὀδὸν
χαλκοῖς βάθροισι γῆθεν ἐρριζωμένον,
ἔστη κελεύθων ἐν πολυσχίστων μιᾷ,
κοίλου πέλας κρατῆρος, οὗ τὰ Πειρίθου
Θησέως τε κεῖται πίστεως ξυνθήματα·
ἀφ' οὗ μέσος στὰς τοῦ τε τρικορύφου πέτρου
κοίλης τ' ἀχέρδου καὐτολαΐνου τάφου,

Mein. Weckl. *λελογχότα — τὸν ἀεὶ θάνατον* (aut *τὸν αἰὲν ὕπνον*, coll. Aesch. Ag. 1450. *τὸν ἀεὶ — ὕπνον*) conj. Mein. Qu. *τὸν αὑτοῦ —*, coll. O. R. 613. *ἐκλιπεῖν — τὸν παρ' αὑτῷ βίοτον*, aut *τὸν αὐτοῦ* (hic) *βίοτον*, aut *τὸν αὐτοῦ* (ejus) *βίοτον*, aut *βίον τὸν ἐνθάδ' —*.

1585. *κἀπόνῳ* A. T. *καὶ πόνῳ* B. K. L.

1586. *τοῦτ'* A. *ταῦτ'* B. K. L. T.

1588. *ὑφηγητῆρος οὐδενὸς φίλων*] Sub. *ὄντος*. Cf. 83. *ὡς ἐμοῦ μόνης πέλας*. 502. Tr. 889. *ἐπεῖδες ὡς δὴ πλησία παραστάτις* (sub. *οὖσα*). Tentabam olim *ὑφ' ἡγητῆρος —*, coll. 1521. *ἄθικτος ἡγητῆρος*. Cf. ad O. R. 966. 1260.

1590. *ὀδὸν* (*οδὸν* pr.) K. T. *ὁδὸν* A. B. L.

1592. *πολυσχίστῳ* mss. *πολυσχίστων* Heath.

1593. *οὗ τὰ θησεως Περίθου τε* mss. *οὗ τὰ Πειρίθου Θηέως τε* Bl. 1594. *πίστ' ἀεὶ* mss. *πίστεως* Bl.

1595. *ἐφ' οὗ μέσου* mss. *ἀφ' οὗ μέσος* Br. Qu. *ὅπου —*. *μέσου* (*μέσον* V.) mss. *μέσος* Musgr. Cf. Alciphr. Fr. 3. *μέση γὰρ ἕστηκα ἀπὸ τῆς Ἀφροδίτης καὶ τοῦ Ἔρωτος* (ita enim Mein.). *τοῦθ'* (*θ'* corr. ex *τ*, et *τε* sup. ab S.) L. *τοῦ τε Θορικίου* T. *τοῦ τ' ἐρικίου* K. *τοῦ θορικίου* (om. *τε*) B. *τοῦ τ' Ἐρικείου* Mein. *τοῦ τε τρικορύφου* Schneid., coll. schol. ad 57. *καί τις τῶν χρησμοποιῶν φησί, "Βοιωτοὶ δ' ἵπποιο (?) ποτιστείχουσι Κολωνὸν, | ἔνθα λίθος τρικάρανος ἔχει (ἔφυ?) καὶ χάλκεος οὐδός."* V. Add. *πέτρου*] Qu. *πάγου*, aut *τῆς — πέτρας*: *πέτρος* enim valet lapis.

1596. *κἀπὸ λαΐνου* mss. *καὐτολαΐνου* Dobr. Quod vereor ne analogiae repugnet: hujusmodi enim composita ex *αὐτός* et substantivo aliquo, non adjectivo quale est *λάϊνος*, conficta sunt. Cf. 192. *αὐτοπέτρου βήματος*. Ph. 35. *αὐτόξυλον ἔκπωμα*. Eur. Fr. 125, 3.

καθέζετ', εἶτ' ἔλυσε δυσπινεῖς στολάς.
κἄπειτ' ἀΰσας παῖδας ἠνώγει ῥυτῶν
ὑδάτων ἐνεγκεῖν λουτρὰ καὶ στολάς ποθεν·
τὼ δ' εὐχλόου Δήμητρος εἰς ἐπόψιον
πάγον μολούσα τάσδ' ἐπιστολὰς πατρὶ
βραχεῖ 'πόρευσαν σὺν χρόνῳ, λουτροῖς τέ νιν
ἐσθῆτί τ' ἐξήσκησαν ᾗ νομίζεται.
ἐπεὶ δὲ πάντ' εἶδ' ὡς ἔδει δεδραμένα,

αὐτομόρφων λαΐνων τειχισμάτων. Herc. 1096. λαΐνῳ τειχίσματι. Hel. 962. τόνδε λάϊνον τάφον. Qu. τοῦ τε —.

1597. ἔλυσε B. T. ἔδυσε A. K. L.

1599. χοάς] στολὰς conj. Mein., quum nihil aliud significare queat χοάς quam libationes mortuis oblatas, quarum nulla mentio fiat in seqq. Recte, opinor. Cf. 1603. λουτροῖς τέ νιν | ἐσθῆτί τ' ἐξήσκησαν.

1600. εἰς mss. ἐς Dind. ἐπόψιον A. B. T. προσόψιον K. L. Cf. Ant. 1110. ὁρμᾶσθ' — εἰς ἐπόψιον τόπον. Nusquam alibi legitur προσόψιος. Qu. κατόψιον. Cf. Eur. Hipp. 30. κατόψιον γῆς τῆσδε ναὸν —.

1601. πάγον] πηγὴν L. Stephani. μολοῦσαι L. μολούσα A. B. T. μολόντε Dind. Cf. ad 1608. 1640. 1676.

1602. ταχεῖ mss. βραχεῖ Reisig. Recte. Cf. 1648. χρόνῳ βραχεῖ. 1341. Fr. 572. ἐν γὰρ βραχεῖ — κὠλίγῳ χρόνῳ. Fr. 358. βραχὺν χρόνον. et ad Tr. 395. πόρευσαν mss. 'πόρευσαν Heath. Jebb. Fortasse recte, quum aphaeresis augmenti non nisi metro postulante fieri videatur. 'πέραναν Herwerden. Fort. 'πέραναν aut 'πετέλεσαν. Cf. ad 1608. Tr. 950. ξὺν vulg. σὺν L. et Dind. (Aj. 22.).

1604. ἐπεὶ δὲ παντὸς εἶχε δρῶντος ἡδονὴν mss. ὡς δ' εἶχε παντὸς τοῦ δέοντος ἡδονὴν Tournier. Locus nondum sanatus. Dindorfius reddit, 'quum omni in re ei satisfactum esset.' Et hunc quidem sensum requiri non dubitari potest, sed codicum lectio id significare non potest. Qu. ἐπεὶ δὲ πάντα δρώμεν' εἶδεν ἅθελε (aut ὡς ἔδει), aut ἐπεὶ δὲ πάντ' εἶδ' ὡς ἔδει δεδραμένα, aut ἐπεὶ δὲ πάνθ' ὡς ἤθελ' ἦν δεδραμένα, aut ἐπεὶ δὲ πάντ' ἦν ὡς ἔδει δεδραμένα, aut ἐπεὶ δὲ πάντ' εἰργασμέν' ἦν καθ' ἡδονὴν, aut ἐπεὶ δὲ πάντ' ἐσεῖδε δρώμεν' ὡς ἔδει (ita corruptelae causa fuerit πάντ' ἐσεῖδε in παντὸς εἶχε mutatum, postea δρώμεν' in δρῶντος et ὡς ἔδει in ἡδονὴν corrupta sint), aut ἐπεὶ δὲ πάντ' εἶδ' ᾗ 'θελεν δεδραμένα, aut ἐπεὶ δὲ πάντας εἶδε δρῶντας ἅθελε, aut ἐπεὶ δὲ πάντων ἔτυχεν ὧν ἐφίετο.

κοὐκ ἦν ἔτ' ἀργὸν οὐδὲν ὧν ἐφίετο,
κτύπησε μὲν Ζεὺς χθόνιος, αἱ δὲ παρθένοι
ῥίγησαν ὡς ἤκουσαν ἔς τε γούνατα
πατρὸς πεσοῦσαι 'κλαον οὐδ' ἀνίεσαν
στέρνων ἀραγμοὺς οὐδὲ παμμήκεις γόους.
ὁ δ', ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
πτύξας ἐπ' αὐταῖς χεῖρας εἶπεν, ὦ τέκνα,
οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατήρ.
ὄλωλε γὰρ δὴ πάντα τἀμὰ, κοὐκέτι
τὴν δύσπονον τήνδ' ἕξετ' ἀμφ' ἐμοὶ τροφήν·
σκληρὰν μὲν, οἶδα, παῖδες, ἀλλ' ἓν γὰρ μόνον
ἅπαντα λύει ταῦτ' ἔπος μοχθήματα·
τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον
ἢ 'κ τοῦδε τἀνδρὸς ἔσχεθ', οὗ τητώμεναι
τὸ λοιπὸν ἤδη τοῦ βίου διάξετε.
τοιαῦτ' ἐπ' ἀλλήλοισιν ἀμφικείμενοι
λύγδην ἔκλαον πάντες. ὡς δὲ πρὸς τέλος
γόων ἀφίκοντ' οὐδ' ἔτ' ὠρώρει βοὴ,

1605. *οὐδὲν ἀργὸν* L. *ἀργὸν οὐδὲν* al. Dind.

1606. *κτύπησε μὲν Ζεὺς χθόνιος*] *Ζεὺς ἐκτύπησε χθόνιος* Blomf. Gl. Prom. 1029. Cf. ad El. 715.

1607. *ῥίγησαν*] Fort. *ἔδεισαν* aut *ἔφριξαν*. Sed *ῥίγησαν* versum incipit Hom. Il. 4, 150. *ἐς δὲ* mss. Lege *ἔς τε*.

1608. *πεσοῦσαι κλαῖον* mss. *πεσοῦσαι 'κλαιον* Heath. Br. Herm. *πεσόντ' ἔκλαον* Dind. Cf. ad 1601. 1640. *ἀνίεσαν* recte A. B.

1610. *πικρὸν*] Suspectum Nauckio.

1612. *τῇδ' ἐν ἡμέρᾳ*] Cf. Eur. Med. 1231. Qu. *τῇδε θἠμέρᾳ*, ut in O. R. 1283. Aj. 756. 773. 1362. Tr. 740.

1614. *τὴν δυσπόνητον* mss. Vocabulum non aliunde cognitum. *τὴν δύσπονον τηνδ'* Bl. Cf. Ant. 1276. *πόνοι βροτῶν δύσπονοι*.

1616. *τὰ πάντα* mss. Dedi *ἅπαντα*. *λύει — μοχθήματα*] Cf. El. 939. *πημονῆς λύσεις βάρος*.

1617. *τὸ γὰρ φιλοῦν* conj. Mein. Sed cf. Tr. 463. 1243.

1618. *ἢ τοῦδε τἀνδρὸς* mss. Fort. *ἢ 'κ τοῦδε τἀνδρός*.

1619. *τὸ λοιπὸν* L. K. Suid. v. *τητᾶσθαι*. *τὸν λοιπὸν* cet. *βίοτον* mss. *τοῦ βίου* Suid. *τὸν βίον* Elmsl Mein. Cf. Tr. 168. *τὸ λοιπὸν ἤδη ζῆν ἀλυπήτῳ βίῳ* (leg. *ἀλύπητον βίον*). 921. *διάξετον* mss. *διάξετε* Suid.

1621. *ἔκλαιον* mss. *ἔκλαον* Dind.

1622. *οὐδέ τ'* mss *οὐδ' ἔτ'* Turn.

ἦν μὲν σιωπή, φθέγμα δ' ἐκ θεῶν τινος
θώϋξεν αὐτὸν ὥστε πάντας ὀρθίας
στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας.
καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεός,
"ὦ οὗτος οὗτος Οἰδίπους, τί μέλλομεν
χωρεῖν; πάλαι δη τἀπὸ σοῦ βραδύνεται."
ὁ δ', ὡς ἐπῄσθετ' ἐκ θεοῦ καλούμενος,
αὐδᾷ καλεῖν οἱ γῆς ἄνακτα Θησέα.
κἀπεὶ προσῆλθεν, εἶπεν, ὦ φίλον κάρα,
δός μοι χερὸς σῆς πίστιν ἀρκέσειν τέκνοις,
ὑμεῖς δὲ, παῖδες, τῷδε· καὶ καταίνεσον
μήποτε προδώσειν τάσδ' ἑκών, τελεῖν δ' ὅσ' ἂν
μέλλῃ φανεῖσθαι ξυμφέροντ' αὐταῖς ἀεί.
ὁ δ', ὡς ἀνὴρ γενναῖος, οὐκ ὄκνου μέτα

1623. *ἐξαίφνης τινὸς* mss. Mendosum hoc videtur, quum proxime legatur idem v. 1625. Dedi *ἐκ θεῶν τινος* (1626. 1629. 1661.).

1624. *θώϋξεν αὐτὸν*] *θεῶν ἐθώϋξ'* Porson. Sed requiritur pronomen. Cf. 1626. 1625. *ἐξαίφνης* mss. *εὐθέως* Dind. Cf. ad 1623.

1626. Spurium habent Herm. Lehrs. Nauck. Mein. Weckl. al. Sine causa, opinor. *καλεῖ* A. B. K. L. (in litura). *κάλει* T. V. *πολλὰ πολλαχῇ*] *πολλὰ πολλάκις* Bl., coll. Eur. Med. 1165. Arist. Th. 287. Scripserat fortasse *δεινὰ προσφωνῶν* aut aliquid simile.

1627 sq. *τί μέλλομεν* | *χωρεῖν; πάλαι δή —*] *τί μέλλομεν;* | *χώρει, πάλαι δή* — conj. Nauck.

1630. *μολεῖν οἱ*] Qu. *καλεῖν οἱ,* aut *μετελθεῖν* (arcessitum ire, coll. Ph. 343.).

1632. *ἀρχαίαν* mss. *ἀρκέσειν* (i. e. opitulaturum esse) conj. Nauck. Recte. Cf. Phil. 813. *ἔμβαλλε χειρὸς πίστιν. ΝΕ. ἐμβάλλω μενεῖν.* 281. *ἄνδρα δ' οὐδέν' ἔντοπον* | *οὐχ* (*οὐθ'*?) *ὅστις ἀρκέσειεν* —. El. 322. *πέφυκεν ἐσθλὸς ὥστ' ἀρκεῖν φίλοις.* O. C. 262. *μόνας ἀρκεῖν ἔχειν* (l. *θέλειν,* sc. *τῷ ξένῳ*). Aj. 824.

1633. *ὑμεῖς τε* mss. *ὑμεῖς δὲ* Bl.

1634. *τάσδ'* (*σ* in litura) L. Qu. *τώδ'* et mox *αὐταῖν* pro *αὐταῖς*.

1635. *μέλλῃς φρονῶν εὖ* mss. Lege *μέλλῃ φανεῖσθαι* (aut *δρᾶν* pro *ἀεί*). Similis locus est 1774. *δράσω καὶ τάδε καὶ πάνθ' ὁπόσ' ἂν* | *μέλλω πράσσειν πρόσφορα χὐμῖν* —. *ἀεί*] Qu. *δρᾶν*.

1636. *οἴκτου μέτα* mss. *ὄκνου μέτα* (i. e. cunctanter) Fröhlich. Both. Wex. Mein. Weckl. Quod recepi.

κατήνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ.
ὅπως δὲ ταῦτ' ἔδρασεν, εὐθὺς Οἰδίπους
ψαύσας ἀμαυραῖς χερσὶν ὧν παίδων λέγει,
ὦ παῖδε, τλάσα σφὼ τὸ γενναῖον χρεὼν
χωρεῖν τόπων ἐκ τῶνδε μηδ' ἃ μὴ θέμις
λεύσσειν δικαιοῦν μηδὲ φωνούντων κλύειν.
ἀλλ' ἕρπεθ' ὡς τάχιστα· πλὴν ὁ κύριος
Θησεὺς παρέστω μανθάνειν τὰ δρώμενα.
τοσαῦτα φωνήσαντος εἰσηκούσαμεν
ξύμπαντες· εἶτ' εἰς ἄστυ σὺν ταῖς παρθένοις
στένοντες ὡμαρτοῦμεν. ὡς δ' ἀπήλθομεν,
χρόνῳ βραχεῖ στραφέντες ἐξαπείδομεν

1638. *ἔδρασεν* mss. *ἔπραξεν* Heims.

1639. *χερσὶν ὧν παίδων* mss. Qu. *χερσὶ τῶν παίδων*. Alioqui *τῶν ὧν* scribendum videretur. Cf. Tr. 266. *τῶν ὧν παίδων*. 525. Aj. 442. O. R. 1248. Aesch. Sept. 641. Sed Eum. 367. *λέσχας ἅς*. Eur. Hel. 1124. *ὧν ἀλόχων*. Eur. Med. 955. *ἐκγόνοισιν οἷς*.

1640. Spurium hunc versum habet Nauck. *τλάσας* mss. Dedi *τλάσα*. Pro *τλάσα* qu. *δρῶσα*. (Eur. Or. 1060. *ἀλλ' εἶ', ὅπως γενναῖα — δράσαντε κατθανούμεθ'*.) *χρὴ* mss. Reposui *σφὼ*, quod sensu requiritur. Facile *σφὼ* post *-σας* excidere poterat. Cf. 1407. Qu. *ὦ παῖδ', ἐχούσα χρὴ τὸ γενναῖον φρενὶ —*, coll. Aj. 525. *ἔχειν σ' ἂν οἶκτον ὡς κἀγὼ φρενὶ | θέλοιμ' ἄν*. Sed vereor ut omitti queat *σφώ*. *φέρειν* B. K. L. T. *φρενὶ* A. Lege *χρεών*. Saepenumero in versuum finibus corruptelas factas esse satis notum est. Cf. 1636. Eur. Alc. 627. *ἔργον τλᾶσα γενναῖον τόδε*. Soph. Fr. 616. *ἄνδρα γενναῖον φρένας*. Ph. 51. *δεῖ σ' ἐφ' οἷς ἐλήλυθας | γενναῖον εἶναι*.

1644. *μανθάνων* mss. vulg. Malim *μανθάνειν* (ut discat). Et sic Reisk. Herw. Cf. 12. *μανθάνειν γὰρ ἥκομεν | ξένοι πρὸς ἀστῶν —*. 1368. Eur. Andr. 49. *οὔτ' ἐμοὶ πάρα | προσωφελῆσαι*.

1646. *ἀστακτὶ δὲ* mss. *εἶτ' ἀστακτὶ* conj. Bl. Qu. *ἀδάκρυτοι δέ*. Ultima enim in *ἀστακτὶ* produci nequit. Cf. 1251. Aj. 1227. *ἀνοιμωκτί* (ex *ῐ* ut in arsi). *ἀστακτὶ* (*ῐ*) *λείβων δάκρυ' ὧδ' ὁδοιπορεῖ*. Ant. 413. *ἐγερτί* (*ῐ*). Sed vera lectio mihi videtur *εἶτ' εἰς ἄστυ*. *ταῖς παρθένοις*] Fort. *ταῖν παρθένοιν*, sed cf. 1667. *ποῦ δ' αἵ τε παῖδες —;*

1648. *ἐξαπείδομεν*] Nauckio suspectum. *εἶτ' ἀπείδομεν* T. Halbertsma. *πάλιν στραφέντες εἴδομεν* conj. Nauck. Qu. *εὐθὺς εἴδομεν*. Sed nil mutandum: verba hujusmodi composita amat Sophocles.

τὸν ἄνδρ' ἐκεῖνον οὐδαμοῦ παρόντ' ἔτι,
ἄνακτα δ' αὐτὸν ὀμμάτων ἐπίσκιον
χεῖρ' ἀντέχοντα κρατὸς, ὡς δεινοῦ τινος
φόβου φανέντος οὐδ' ἀνασχετοῦ βλέπειν.
ἔπειτα μέντοι † βαιὸν οὐδὲ σὺν χρόνῳ
ὁρῶμεν αὐτὸν γῆν τε προσκυνοῦνθ' ἅμα
καὶ τὸν θεῶν Ὄλυμπον ἐν ταὐτῷ λόγῳ.
μόρῳ δ' ὁποίῳ κεῖνος ὤλετ' οὐδ' ἂν εἷς
θνητῶν φράσειε πλὴν τὸ Θησέως κάρα.
οὐ γάρ τις αὐτὸν οὔτε πυρφόρος θεοῦ
κεραυνὸς ἐξέπραξεν οὔτε ποντία
θύελλα κινηθεῖσα τῷ τότ' ἐν χρόνῳ,
ἀλλ' ἤ τις ἐκ θεῶν πομπὸς ἢ τὸ νέρτερον
εὔνουν διαστὰν γῆς ἀναύγητον βάθρον.
ἀνὴρ γὰρ οὐ στενακτὸς οὐδὲ σὺν νόσοις
ἀλγεινὸς ἐξέπνευσεν, ἀλλ' εἴ τις βροτῶν

1649. *τὸν ἄνδρα τὸν μὲν* mss. Dedi *τὸν ἄνδρ' ἐκεῖνον.*

1651. *χεῖρ' ἀντέχοντα* A. K. L. *ἔχοντα χεῖρα* B. T.

1653. *ἔπειτα μέντοι βαιὸν οὐδὲ σὺν χρόνῳ* mss. Qu. — *σὺν χρόνου βαιοῦ τριβῇ*, aut — *μετὰ χρόνου βαιοῦ τριβὴν*, aut *μετὰ βαιόν τι*, aut *μετά τι βαιὸν*, aut *μετὰ βαιότατον*, aut *μετ'* | *ὀλίγον τι*. Cf. Fr. 588, 4. *ἐν βραχεῖ* — *κὠλίγῳ χρόνῳ*. Utique vix accipi potest *βαιὸν* pro *μετὰ βαιόν*. *σὺν χρόνῳ*] Cf. Aj. 306. Tr. 201. 395. *σὺν χρόνῳ βραχεῖ μολών.*

1655. *τὸν θεῶν Ὄλυμπον*] I. e. deorum sedem, coelum. Cf. Ant. 758. *οὐ τόνδ' Ὄλυμπον — δεννάσεις ἐμέ.* Aj. 1389. O. R. 867. Fort. — *ὅμιλον* (coetum). Sic Eur. Cycl. 100. *σατύρων — ὅμιλον εἰσορῶ.* Ion. 1206. *θοινατόρων ὅμιλος.* *λόγῳ* mss. Nonne *χρόνῳ*?

1659. *ἐξέπραξεν*] Confecit. Schol. *ἀνεῖλεν*. Qu. *ἐξῄστωσεν.*

1661. *νερτέρων* mss. *νέρτερον* T. Halbertsma. Recte, opinor. Cf. 1576. *νερτέρας — νεκρῶν πλάκας.* Eur. Alc. 47. *κἀπάξομαί γε νερτέραν ὑπὸ χθόνα.*

1662. *διαστὰν* (sic) Madvig. probat Nauck. *ἀλύπητον* A. B. et (*γρ. ἀλάμπετον* ab S.) L. *ἀλάμπετον* K. *ἀναύγητον* Pierson. Veris. p. 165. Cf. 1680. *ἄσκοποι πλάκες.* Aesch. Pr. 1031. *εἰς ἀναύγητον μολεῖν* | *Ἅιδην.* Quod si vera scriptura est *ἀλύπητον*, cf. Tr. 167. *ζῆν ἀλύπητον βίον.* Plat. Legg. 958 E. *τὰ τῶν τετελευτηκότον σώματα μάλιστα ἀλυπήτως τοῖς ζῶσι — κρύπτειν.* (Jebb.) 1663. *ἀνὴρ* mss.

1664. *ἀλγεινὸς*] Qu. *ἀλγῶν μέτ'*, aut *δειναῖσιν*. *ἐξεπέμπετ'*

θαυμαστός. εἰ δὲ μὴ δοκῶ φρονῶν λέγειν,
οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν.
ΧΟ. ποῦ δ' αἵ τε παῖδες χοἱ προπέμψαντες φίλων;
ΑΓ. αἵδ' οὐχ ἑκάς· γόων γὰρ οὐκ ἀσήμονες
φθόγγοι σφε σημαίνουσι δεῦρ' ὁρμωμένας.

στρ. ά.

ΑΝ. αἰαῖ, ἔστιν ἔστι νῷν δὴ
οὐ τὸ μέν, ἄλλο δὲ μή, πατρὸς ἔμφυτον
ἄλαστον αἷμα δυσμόροιν στενάζειν,
ὥτινε πάμπολυν
ἄλλοτε μὲν πόνον ἔμπεδον εἴχομεν,
ἐν πυμάτῳ δ' ἀλόγιστα πεπόνθαμεν
ἰδόντε καὶ παθόντε.

(ἐξέπνευσεν sup. ab S. in L.) mss. Suspectum ἐξεπέμπετ': requiritur enim aoristus. Itaque recepi ἐξέπνευσεν. Qu. ἐξελύσατ', aut ἀπελύσατ' ἀλγειναῖσιν. Cf. Ant. 1314. ποίῳ δὲ κἀπελύσατ' ἐν φοναῖς τρόπῳ; Luc. Evang. I. 29. νῦν ἀπολύεις τὸν δοῦλόν σου.

1666. παρείμην] παρείξαιμ' Hart. Cf. O. C. 1334. παρεικαθεῖν.

1668. ἀσήμονες] I. q. ἄσημοι (Ant. 1004.). Suspectum Nauckio.

1669. φθόγγοι (aut φθόγγοις) σφε A. φθόγγοις δὲ L. B. T. φθόγγοι δὲ K.

1670. αἰαῖ (αἶ αἶ A. L. T. αἲ αἲ B. K.) φεῦ mss. αἰαῖ ed. Glasg. 1745. Dind. Nauck. Qu. αἰαῖ αἰαῖ, ἔστι νῷν δὴ —. ἔστι B. T. ἔστιν A. K. L.

1673. ᾧτινι mss. ὥτινε Badham. Dind. Mein. τὸν πολὺν mss. Dedi πάμπολυν. Offendit articulus.

1675. δ' ἀλόγιστα mss. Schol. ἀδιήγητα κακὰ βαστάζομεν. Qu. δὲ δύσοιστα. Cf. Aesch. Eum. 738. δύσοιστα πολίταις ἔπαθον. Fort. κάκ' ἔσχομεν. Mire reddit Dindorfius afferemus, coll. Eur. Iph. A. 981. αἰσχύνομαι δὲ παραφέρουσ' αἰσχροὺς λόγους. παροίσομεν mss. ἀλόγιστ' ἐκυρήσαμεν Gleditsch. Herw. Qu. κάκ' οἴσομεν aut κάχ' ἕξομεν, sed praeteritum requiri ostendunt participia quae sequuntur. Qu. πεπόνθαμεν. (Cf. 595. πέπονθα δεινὰ πρὸς δεινοῖς κακά. 892. πέπονθα δεινά. 538. Ant. 96. 928. Eur. Hel. 22. ἃ δὲ πεπόνθαμεν κακὰ | λέγοιμ' ἄν.) Sed ita pro παθοῦσα (aut παθόντε) aliud quid reponendum foret.

1676. παθούσα A. L. corr. (παθοῦσα pr.) παθοῦσαι B. K. T. παθόντε Br. Dind. Mein. Cobet. (Ita non major cacophonia est quam

ΧΟ. τί δ' ἐστίν; ΑΝ. οὐ γὰρ ἔστιν εἰκάσαι, φίλοι;
ΧΟ. βέβηκεν; ΑΝ. ὡς μάλιστ' ἂν ἐν πόθῳ λάβοις.
τί γὰρ, ὅτῳ μήτ' Ἄρης
μήτε νοῦσος ἀντέκυρσεν,
ἄσκοποι δὲ πλάκες ἔμαρψάν
νιν ἀφανεῖ τινι μόρῳ φερόμεναι;
τάλαινα, νῷν δ' ὀλεθρία
νὺξ ἐπ' ὄμμασιν βέβακε.
πῶς γὰρ ἤ τίνα ξέναν
γᾶν ἢ πόντιον κλύδων' ἀλώμεναι βίου δύσοιστον
ἕξομεν τροφάν;
ΙΣ. οὐ κάτοιδα. κατά με φόνιος
Ἀΐδας ἕλοι πατρὶ ξυνθανεῖν γεραιῷ
τάλαιναν, ὡς ἔμοιγ' ὁ μέλλων βίος οὐ βιωτός.
ΧΟ. ὦ διδύμα τέκνων ἀρίστα,

in δείσαντες ἢ στέρξαντες O. R. 11. et ποῦ βάντος ἢ ποῦ στάντος Aj. 1237.). Qu. παρόντε (El. 3. ἔξεστί σοι παρόντι λεύσσειν), aut ἰδεῖν τε καὶ πυθέσθαι.

1677. οὐκ ἔστι (ἔστιν T.) μὲν mss. ἔστιν μὲν Herm. Dind. Mein. Lege οὐκ ἔστιν (aut οὐ γὰρ ἔστιν), et mox φίλοι; (sic). Cf. ad 1704. 1678. εἰ mss. ἐν Cant.

1680. πόντος mss. Vitiosum. Corrigendum suspicor νοῦσος. Et sic jam Reisig. ex schol. Cf. 1701.

1681. ἐν mss. Correxi νιν. φαινόμεναι A. B. K. L. φερόμεναι T. Herm. φερόμενον Kunhardt. Dind. Jebb., coll. Plat. Resp. 496 D. ἐν χειμῶνι κονιορτοῦ — ὑπὸ πνεύματος φερομένου. Schol. ἀφανῶς διὰ χάσματος ἀπολομένῳ.

1683. ὀλεθρία] ὀλεθρίαν L. Qu. ὀλεθρίαιν. Cf. ad Tr. 878.

1684. ὄμμασιν T. ὄμμασι B. K. L. βέβηκε mss. βέβακε Reisig. Anglice rests.

1685. πῶς γὰρ mss. πόθι γὰρ Heims. ἤ τιν' ἀπίαν mss. Dedi ἤ τίνα ξέναν (ξεῖναν). Cf. 1713. ἀπίαν γᾶν] Longinquam terram. Hom. Il. 1, 270. ἀπίη γαίη. Tantum hic producitur prima syllaba.

1686. κλύδων' ἀλώμεναι] Cf. Aj. 30. πηδῶντα πεδία. Sic πλεῖν θάλασσαν et alia. 1689. 'Αΐδας] Producta prima syllaba.

1690. πατρὶ mss. πάρος Dind. ed. V. ξυνθανεῖν γεραιῷ τάλαιναν mss. [ξυνθανεῖν γεραιῷ] τάλαιναν Dind. Nauck.

1693. δίδυμα — ἄριστα mss. διδύμα — ἀρίστα T.

τὸ παρὸν ἐκ θεοῖ καλῶς χρὴ φέρειν.
μηδὲν ἄγαν φλέγεσθον· οἴ τοι κατάμεμπτ' ἔβητον.

ἀντ. ά.

AN. *πόθος καὶ κακῶν ἄρ' ἦν τις·*
καὶ γὰρ ὃ μηδάμ' ἔφυ φίλον ἦν φίλον
ὁπότ' ἔτ' ἐκεῖνον ἐν χεροῖν κατεῖχον.
ὦ πάτερ, ὦ φίλος,
ὦ τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος,
οὐδὲ θανὼν ἀφίλητος ἐμοί ποτε
καὶ τᾷδε μὴ κυρήσῃς.
XO. *ἔπραξεν* — *AN.* *ἔπραξεν οἷα δὴ 'θελε.*

1694. *τὸ φέρον* mss. Lege *τὸ παρὸν* (cf. 1540. *ἐπείγει γάρ με τοὐκ θεοῦ παρόν*), aut fortasse *τὸ δοθέν*. Cf. Ph. 1316. *τὰς μὲν ἐκ θεῶν | τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν*. Aesch. Pers. 293. *πημονὰς βροτοῖς φέρειν θεῶν διδόντων.* *καλῶς φέρειν χρὴ* mss. *καλῶς* [*φέρειν χρὴ*] Herm. Dind. al. *καλῶς χρὴ φέρειν* Elmsl.

1695. *μηδ'* mss. *μηδὲν* Dind. *μηδ' ἔτ'* Bellerm. Jebb. *ἄγαν οὕτω* mss. *ἄγαν* Burton. Dind. Jebb. *ἄγαν οὕτω* legitur Phil. 598. *ἄγαν οὕτω χρόνῳ | τοσῷδε.* *φλέγεσθον*] Suspectum. Qu. *μηδ' ἄγαν φλέγεσθαι.*

1696. *κατάμεμπτ' ἔβητον* mss. *κατάμεμπτ' ἐβήτην* Elmsl. Dind. Mein. *καταμέμπτος ἔβη* schol., unde *κατάμεμπτος αἶσα* (aut *οἶτος*) conj. Nauck. *κατάμεμπτ'* —] Cf. 1234. *κατάμεμπτον — γῆρας.*

1698. *ὁ μηδαμῇ* L. *ὃ μηδαμὰ* Br. *δὴ τὸ φίλον φίλον* mss. *δὴ φίλον ἦν φίλον* Br. Hart. Scripserat, ni fallor, *ὃ μηδάμ' ἔφυ φίλον ἦν φίλον.*

1699. *ὁπότε γε καὶ τὸν* mss. *ὁπότε γε καὐτὸν* (aut *γ' ἔτ' αὐτὸν*) Arndt. *ὁπότε γ' ἐκεῖνον* Kunhardt. *ἕως γ' ἔτ' αὐτὸν* Heims. Ipse malim *ὁπότ' ἔτ' ἐκεῖνον*, aut *ὁπότ' ἔτι κεῖνον* (cf. 1760. *κεῖνος*. 1768.). *κατεῖχον* mss. Cf. 1252. *ὅνπερ — κατείχομεν γνώμῃ.* Fort. *ἔτ' εἶχον* (et — *ὁπότε γε κεῖνον*), sed parum hic convenit particula *γε.*

1702. *οὐδὲ γέρων* mss. *οὐδὲ γὰρ ὢν* Herm. Dind. *οὐδὲ γὰρ ὣς* Hart. Linwood. (Cf. Ant. 1402. *οὐδ' ὣς — παρήσω.*) *οὐδέ γ' ἔνερθ'* Bergk. Muff. Weckl. Jebb. *οὐδὲ θανὼν* bene Elmsl. *οὐδ' ἐκεῖ ὢν* conj. Jebb. Neque *γὰρ* neque *γε* hic convenit.

1703. *τάδε* mss. *τᾷδε* Tricl.

1704. *ἔπραξεν εὖ; AN. ἔπραξεν* — Bl. Qu. *ἔπραξε — AN. ναί· ἔπραξεν* —. Cf. ad v. str. 1677. *οἷον ἤθελεν*] Qu. *οἷα δὴ 'θελεν.* *ἤθελεν* K. L. T. *ἤθελε* B.

ΧΟ. τὸ ποῖον; ΑΝ. ἇς ἔχρῃζε γᾶς ἐπὶ ξένας
ἔθανε· κοίταν δ' ἔχει
νέρθεν εὐσκίαστον αἰέν,
οὐδὲ πένθος ἔλιπ' ἄκλαυτον.
ἀνὰ γὰρ ὄμμα σε τόδ', ὦ πάτερ, ἐμὸν
στένει δακρῦον, οὐδ' ἔχω
πῶς με χρὴ τὴν δυστάλαιναν
ἀφανίσαι τοσόνδ' ἄχος.
ἰώ, γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες, ἀλλ' ἔρημος
ἔθανες ὧδ' ἐμοῦ.
ΙΣ. ὦ τάλαινα, τίς ἄρα με πότμος
αὖθις ὧδ' [ἔρημος ἄπορος]
ἔτ' ἀμμένει σέ τ', ὦ φίλα, τοῦ πατρὸς ὧδ' ἐρήμας;
ΧΟ. ἀλλ', ἐπεὶ ὀλβίως γ' ἔλυσε τὸ
τέλος, ὦ φίλαι, βίου,
λήγετε τοῦδ' ἄχους· κακῶν γὰρ δυσάλωτος οὐδείς.

1709. ἀεὶ mss. ἀνὰ Herm. Dind. Mein. ἔτι Elmsl. καὶ conj. Mein.

1710. δακρύον A. B. L. δακρῦον K. Reisig.

1711. τὸ σὸν τάλαιναν mss. Lege τὴν δυστάλαιναν.

1712 sq. ἰὼ μὴ | γᾶς ἐπὶ ξένας θανεῖν ἔχρῃζες ἀλλ' | ἔρημος ἔθανες ὧδέ μοι in L. ἰὼ om. B. ἰώ, γᾶς — Nauck. Mein. ὤμοι, γᾶς — Weckl., coll. Aj. 900 sq. Qu. ὡς μὴ — θανεῖν ἐχρῆν σ', ὅπως (aut ἐχρῆν σε μήδ') —. Verba partim spuria.

1712. τοσόνδ' recte mss. τόσον (?) Arndt. Nauck.

1714. ὧδέ μοι mss. Qu. ὧδ' ἐμοῦ. Cf. 1719.

1715 sq. ὦ τάλαινα, τίς ἄρα με πότμος αὖθις | ἐπαμμένει σέ τ', ὦ φίλα, πατρὸς ὧδ' ἐρήμας; conj. Weckl. με πότμος] πότμος ἔμ' malit Nauck.

1716. αὖθις ὧδ' ἔρημος ἄπορος mss. Haec delent Reisig. Lachm. Dind. Mein. Muff. ἔρημος ἄπορος delent Nauck. Jebb. Lacunam post πότμος indicat Dind.

1717. ἐπιμένει mss. ἐπαμμένει Herm. Dind. Jebb. ἀμμένει conj. Mein. Dedi ἔτ' ἀμμένει, ut in Ant. 1296. τὰς addidit Herm. Dedi τοῦ.

1719. τὰς πατρὸς — mss. Dedi τοῦ πατρὸς —.

1720. ἔλυσεν B. K. L. ἔλυσε A. ἔκαμψεν conj. Bl. Qu. ἀφίκετο τέλος βίου, coll. 1530. χὤταν ἐς τέλος | τοῦ ζῆν ἀφικῇ. 1621. ὡς δὲ πρὸς τέλος γόων ἀφίκοντο. Aut ἐλύσατο.

στρ. β'.

ΑΝ. πάλιν, φίλα, συθῶμεν. ΙΣ. ὡς τί ῥέξομεν;
ΑΝ. ἵμερος ἔχει με ΙΣ. τίς;
ΑΝ. τὰν χθόνιον ἑστίαν ἰδεῖν
ΙΣ. τίνος; ΑΝ. πατρὸς, τάλαιν' ἐγώ.
ΙΣ. θέμις δὲ πῶς τάδ' ἐστί; μῶν
οὐχ ὁρᾷς; ΑΝ. τί τόδ' ἐπέπληξας;
ΙΣ. καὶ τόδ',· ὡς — ΑΝ. τί τόδε μάλ' αὖθις;
ΙΣ. ἄταφος ἔπιτνε δίχα τε παντός.
ΑΝ. ἄγε με, καὶ τότ' ἐπενάριξον.
ΙΣ. αἰαῖ, δυστάλαινα, ποῖ δῆτ'
αὖθις ὧδ' ἔρημος ἄπορος
αἰῶνα τλάμον' ἄξω;

ἀντ. β'.

ΧΟ. φίλαι, τρέσητε μηδέν. ΑΝ. ἀλλὰ ποῖ φύγω;
ΧΟ. καὶ πάρος ἀπέφυγε — ΑΝ. τί;
ΧΟ. τὰ σφῷν τὸ μὴ πίτνειν κακῶς.
ΑΝ. φρονῶ — ΧΟ. τί δῆθ' ὑπεννοεῖς;

1725. *ὡς τί ῥέξομεν;*] Ex epicorum usu pro *ὡς τί ῥέξωμεν;* Sic *μήσομαι* pro *μήσωμαι* Tr. 973. *ῥέξομεν* A. M. R. *ῥέξωμεν* B. K. L. T. V.

1728. *τάλαιν' ἔγωγε* L. al. *τάλαιν' ἐγὼ* unus. *τάλαινα* c. Nauck.

1729. *θέμις δὲ πῶς τάδ' ἐστί* mss. Post *θέμις* tres litterae erasae in L. *τάδ'* ab S. illatum. Qu. *θεμιτὸν δὲ πῶς τόδ' ἐστί;* Cf. 1758.

1733. *ἐνάριξον* mss. *ἐπενάριξον* Elmsl. Dind. Mein.

1734. *αἲ αἲ* L. K. *αἶ αἶ* B. T. *αἰαῖ* Dind. Weckl. *ποῖ* A. B. K. L. *πῇ* M. Malim *ποῦ*.

1736. *τλάμον'* (*τλάμων* corr.) L. Herm. Dind. *τλάμων* A. B. K. T. *ἕξω* (*ἄξω* Laur. B.) mss. Lege *ἄξω*. Cf. ad Ph. 690. Sed Tr. 81. *βίοτον εὐαίων' ἔχειν*. Pind. Ol. 1, 95. *ἔχει δ' ἀπάλαμον βίον τοῦτον*.

1739. *καὶ πάρος*] Quando a Creonte abreptae fuistis. *ἀπεφεύγετον σφῷν* (*σφῶϊν* L.) mss. *ἀπέφυγε — ΑΝΤ. τί; ΧΟ. τὰ σφῷν* Herm. Dind. Jebb. *ἔφευγε* — Heims. prob. Nauck. Qu. *ἀπεφύγετον* (*ἀπεφυγέτην*) —. *τί;* mss. *τί δή;* Gleditsch. Schmidt. Qu. *τὸ τί;*

1740. *πίτνειν* K. L. *πιτνεῖν* A. B. T.

1741. *ὑπερνοεῖς* mss. *ὅπερ νοεῖς* Graser. Dind. Mein. Jebb. (Sed *ὅπερ* hic non convenit.) *ὑπεννοεῖς* recte Herm. Quod verbum

ΑΝ. ὅπως μολούμεϑ' ἐς δόμους
οὐκ ἔχω. *ΧΟ.* μηδέ γε μάτευε.
ΑΝ. μόγος ἔχει —. *ΧΟ.* πάρος γὰρ εἶχε.
ΑΝ. τότε μὲν ἄπορα, τάδε δ' ὑπέρφευ.
ΧΟ. μέγα τι πέλαγος ἐλάχετ' ἄτας.
[*ΑΝ.* ναὶ ναί. *ΧΟ.* ξύμφημι καὐτός.]

legitur Aelian. V. H. 4, 8. Simplex verbum *ἐννοεῖν* est Aj. 115. O. R. 330. Ant. 664. Menand. IV. 289. Qu. *τί δῆτα περινοεῖς.* Cf. Arist. Ran. 958. *περινοεῖν ἅπαντα.* Thuc. III. 43. 2. *διὰ τὰς περινοίας.*

1742. Cf. Aj. 428. *οὐδ' ὅπως ἐῶ λέγειν | ἔχω.* Ant. 271.

1744. Choro continuant mss. *μόγος ἔχει* mss. Post *ἔχει* requiritur pronomen *με* aut *νὼ*, quod quum excidisset, librarius aliquis metrum quoquomodo restituere conatus est. Qu. *μόγον ἔχω. ΧΟ. πάρος γὰρ εἶχες.* Alioqui pronomine opus foret. *καὶ πάρος ἐπεί* (*ἔπει*: K.) mss. *καὶ τὸ πάρος εἶχε* Mein. Qu. *καὶ γὰρ πάροιϑε,* aut *πάρος* (*καὶ πρὶν*) *γὰρ εἶχε,* aut sic *μόγος ἔχει με* (aut *νώ*). *ΧΟ. καὶ πάρος γάρ.* De *καὶ πάρος* cf. 1739. *ἐπεί* mss. *ἐπεῖχε* (?) Wund. Dind. Nauck. Requiritur simplex *εἶχε.*

1745. Scribendum forsan *τότε μὲν* — (sic). *τοτὲ δ'* mss. *τάδε δ'* Bl. *πέρα* mss. *ἄπορα* Wund. Dind. Mein. *ὕπερϑεν*] 'Plus quam *ἄπορα*' explicat Dind. Cf. Eur. Med. 652. *μόχϑων οὐκ ἄλλος ὕπερϑεν.* Sed *ὕπερϑεν* desuper significat. Correxi *ὑπέρφευ.* Idem proponit Blomfield in Gl. Pers. 825. *Ὑπέρφευ* legitur Aesch. Pers. 820. Ag. 377. Eur. Ph. 550. Herc. 1321. Confer *ὑπέρευ.*

1746. *ἐλάχετόν τι* mss. *ἐλαχέτην τι* Elmsl. Dind. *ἐλάχετ' ἄτας* Bl. Gleditsch. Muff. Cf. El. 217. *πολὺ γάρ τι κακῶν ὑπερεκτήσω* (l. *βάρος* aut *μέρος ἐκτήσω*). O. R. 1365. *εἰ δέ τι πρεσβύτερον — κακόν, | τοῦτ' ἔλαχ' Οἰδίπους.* 1527. *λεύσσετ' — εἰς ὅσον κλύδωνα δεινῆς συμφορᾶς ἐλήλυϑεν.* Eur. Hipp. 822. *κακῶν δ' ὁ τλάμων πέλαγος εἰσορῶ | τοσοῦτον ὥστε μή ποτ' ἐκνεῦσαι πάλιν.* Suppl. 826. *ἴδετε κακῶν πέλαγος.* Menand. IV. 88. *ἀληϑινὸν | εἰς πέλαγος ἐμβαλεῖς σεαυτὸν* (*αὐτὸν ἐμβαλεῖς γὰρ* vulg.) *πραγμάτων.* Eur. Fr. 115. *τί ποτ' Ἀνδρομέδα περίαλλα κακῶν | βάρος ἐξέλαχεν;* Pro *μέγ' ἄρα* qu. *μέγα τι* aut *μέγα γε.* Metrum est dimeter iambicus.

1747. *ΑΝ. ναὶ ναί. ΧΟ. ξύμφημι καὐτός*] Haec spuria habet Dind. *ΑΝ. ναὶ ναί. ΧΟ. φεῦ φεῦ* Gleditsch. Schmidt. *ξύμφημι καὐτός* B. L. T. *ξύμφημ' αὐτός* K. delet Dind.

ΑΝ. αἰαῖ, ποῖ μένωμεν, ὦ Ζεῦ;
ἐλπίδων γὰρ ἐς τίν' ἔτι νὼ
λοιπὴν τανῦν βλέπειν δεῖ.

σύστημα.

ΘΗ. παύετε θρῆνον, παῖδες· ὅσοις γὰρ
χάρις ἡ χθονία νὺξ ἐπίκειται
πενθεῖν οὐ χρή· νέμεσις γάρ.
ΑΝ. ὦ τέκνον Αἰγέως, προσπίτνομέν σοι.
ΘΗ. τίνα δή, παῖδες, χρείαν ἀνύσαι;

1748. φεῦ φεῦ mss. αἰαῖ Dind. μόλωμεν A. T. μέλωμεν L. μέλλομεν B. K. μένωμεν Schneid., coll. El. 958. ποῖ γὰρ μενεῖς ῥάθυμος; ἐς τίν' ἐλπίδων | βλέψασ' ἔτ' ὀρθήν; Recte, opinor.

1749. ἐς τί με mss. ἐς τίν' ἔτι με Herm. Dind. Jebb. suadet Nauck. ἐς τίν' ἡμᾶς Br. Qu. ἐς τίν' ἔτι νώ.

1750. δαίμων τὰ νῦν ἐλαύνει mss. Haec inepta mihi videntur. Correxerim λοιπὴν τὰ νῦν βλεπεῖν δεῖ. τὰ νῦν γ' A. L. T. τὰ νῦν F. K. τὸ νῦν δ' B. τὰ νῦν μ' conj. Nauck. Qu. τὰ νῦν (om. γ'). Parum enim hic convenit particula.

1751. *ΧΟ.* L. a m. ant. *ΘΗ.* Heath. θρήνων L. aliique. θρῆνον aliquot mss. Recte. Sic Eur. Or. 1314. παύσωμεν βοήν. Med. 245. ἔπαυσε καρδίας χόλον. Dindorfius θρήνων tuetur coll. Phil. 1275. παῦε, μὴ λέξῃς πέρα. Hesiod. Scut. 449. ἀλλ' ἄγε παῦε μάχης. Eur. Hec. 1211. ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο. ἐν οἷς mss. ἐφ' οἷς conj. Mein. Qu. ὅσοις aut ὅπου.

1752. ξυναπόκειται (συν. B. T. V.) mss. ξύν' ἀπόκειται Reisig. Dind. (Cf. Aj. 180. μομφὰν ἔχων ξυνοῦ δορός.) νὺξ ἀπόκειται Martin. νὺξ ἐπίκειται Hart. Weckl. Bellermann. Cf. 1683. νῷν δ' ὀλεθρία νὺξ ἐπ' ὄμμασιν βέβακε. Schol. οἷς κεχαρισμένον ἐστὶ τὸ ἀποθανεῖν. Qu. μοῖρα γένηται (aut πέφανται).

1753. νέμεσις γάρ] Cf. El. 1467. εἰ δ' ἔπεστι νέμεσις, οὐ λέγω.

1754. προσπίτνομέν σοι] Qu. προσπίτνομέν σε. Cf. Phil. 485. προσπίτνω σε γόνασι. 46. Eur. Phoen. 300. προσπίτνω σε. 931. Suppl. 10. Bacch. 1113. Hel. 64. El. 221. Sed cum dativo Tr. 904. βωμοῖσι προσπίτνουσα. O. C. 1157. Med. 1205. 1266. El. 576. Alc. 404. προσπίτνομεν K. προσπίπτομεν A. B. L. προσπιτνοῦμεν T.

1755. τίνος — χρείας ἀνύσαι mss. τίνος — χρείαν ἀνύσαι Br. τίνας — χρείας ἀνύσαι Nauck. Qu. τίνα δὴ — χρείαν ἀνύσαι. (De παῖδες, omisso ὦ, cf. O. R. 142. O. C. 1255. 1615. 1633. 1751.) Sed vera lectio, ni fallor, est τίν' ὅπως, παῖδες, χρείαν ἀνύσω, quae

ΑΝ. τύμβον θέλομεν προσιδεῖν αὐταὶ
πατρὸς ἡμετέρου. *ΘΗ.* ἀλλ' οὐ θεμιτόν.
ΑΝ. πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν;
ΘΗ. ὦ παῖδες, ἀπεῖπεν ἐμοὶ κεῖνος
μήτε πελάζειν ἐς τούσδε τόπους
μήτ' † ἐπιφωνεῖν μηδένα θνητῶν
θήκην ἱερὰν ἣν κεῖνος ἔχει·
καὶ ταῦτά μ' ἔφη πράσσοντα κακῶν
χώραν ἕξειν αἰὲν ἄλυπον.
ταῦτ' οὖν ἔκλυεν δαίμων ἡμῶν
χὠ πάντ' ἀΐων Διὸς Ὅρκος.
ΑΝ. ἀλλ', εἴπερ ἔχει κατὰ νοῦν κείνῳ,
ταῦτ' ἂν ἀπαρκοῖ· Θήβας δ' ἡμᾶς
τὰς ὠγυγίους πέμψον, ἐάν πως
διακωλύσωμεν ἰόντα φόνον
τοῖς ἡμετέροισιν ὁμαίμοις.

facillime in codicum lectionem mutari poterat. Corruptela *τίνος ὦ* pro *τίν' ὅπως* alteram peperit, *χρείας* pro *χρείαν*. Tentabam etiam *τίν' ἵν', ὦ παῖδες, χρείαν ἀνύσω*, et *τίνος — χρείας ἕνεκεν*. Similis locus est O. R. 1435. *καὶ τοῦ με χρείας ὧδε λιπαρεῖς τυχεῖν; ἀνύσαι*] *ἄνυσιν* conj. Dind.

1758. *ἀλλ' οὐ θεμιτόν*] Qu. *ἀλλ' οὐχὶ θέμις. οὐ θεμιτὸν κεῖσε μολεῖν* mss. *οὐ θεμιτόν σοι κεῖσε μολεῖν* Herm. Qu. *οὐ θεμιτὸν κεῖσ' ἐστὶ μολεῖν*. Verba *κεῖσε μολεῖν* delent Both. Nauck. Weckl. Jebb. Bellermann.

1762. *μήτ' ἐπιφωνεῖν* mss. Suspectum. Qu. *μήτε προσαυδᾶν*, aut *μήτε τι φωνεῖν* (coll. 1402.).

1764. *καλῶς* mss. Jebb. *κακῶν* Herm. Dind. Mein. Nauck. Cf. El. 1002. *ἄλυπος ἄτης*. O. C. 1519. *γήρως ἄλυπα*. 786. *κακῶν ἄνατος*. El. 1002. *ἄλυπος ἄτης*. 1765. *ἄλυπον* mss. *ἀδῇον* conj. Nauck.

1766. *ἔκλυε* mss. *ἔκλυεν* Elmsl. Cf. ad El. 96.

1768 — 1776. Hos versus interpolatos esse suspicatur Nauck.

1768. *εἰ τάδ'* mss. Malim *εἴπερ*, quum proxime sequatur *ταῦτ'*.

1772. *τοῖσιν ὁμαίμοις* mss. *τοῖς ἡμετέροισιν ὁμαίμοις* Mein. Qu. *τοῖσιν ὁμαίμοισιν ἀδελφοῖς*, aut *τοῖσιν ὁμαίμοις πρὸς ἑαυτῶν*. Requiritur paroemiacus secundum constantem Aeschyli et Sophoclis usum. V. Prom. 1053. 1062. 1070. 1079. Sept. 1065. 1070. Aj. 1416. Tr. 1263. 1279. Ph. 1431. 1468.

ΘΗ. *δράσω καὶ τάδε καὶ πάνϑ' ὅσ' ἂν ᾖ*
πρόσφορα χὐμῖν καὶ τῷ κατὰ γῆς,
ὃς νέον ἔρρει,
πρὸς χάριν· οὐ δεῖ μ' ἀποκάμνειν.
ΧΟ. *ἀλλ' ἀποπαύετε μηδ' ἐπὶ πλείω*
ϑρῆνον ἐγείρετε (τοῦ τεϑνεῶτος)·
πάντως γὰρ ἔχει τάδε κῦρος.

1773 sq. *δράσω καὶ τάδε πάνθ' ὅσ' ἂν* | *μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν* mss. Herwerden feliciter locum sic corrigit, *δράσω καὶ τάδε καὶ πάνθ' ὅσ' ἂν ᾖ* | *πρόσφορά θ' ὑμῖν* [l. *χὐμῖν*] *καὶ τῷ κατὰ γῆς*. Similis locus est 1635. *τελεῖν δ' ὅσ' ἂν* | *μέλλῃς φρονῶν εὖ* (*μέλλῃ φανεῖσθαι*?) *συμφέροντ' αὐταῖς ἀεί*.

1773. *δράσω καὶ τάδε* mss. *δράσω τάδ' ἐγὼ* R. Klotz. Quidni *καὶ τάδε δράσω*? *ὅσ' ἂν* mss. *ὁπόσ' ἂν* Porson. Dind. Cf. O. R. 77. *πάνθ' ὅσ' ἂν δηλοῖ θεός*. 1297. *ὦ δεινότατον πάντων ὅσ' ἐγὼ προσέκυρσ' ἤδη*. Qu. *πάνθ' ὁπόσ' ἂν* | *πρόσφορα χὐμῖν μέλλω δράσειν* —. Qu. *ὅσ' ἂν ᾖ* —.

1774. *μέλλω πράσσειν* mss. Qu. *μέλλω δράσειν*. Sed omittenda haec videntur. *πρόσφορά θ' ὑμῖν* mss. Correxi *πρόσφορα χὐμῖν*.

1775. Verba *ὃς νέον ἔρρει* delet Weckl.

1776. *οὐ γὰρ* mss. *οὐ* Herm.

1777—1779. Damnant nonnulli.

1777. Qu. *ἀλλ' ἄγε παύετε*. *μήτ'* mss. *μηδ'* Elmsl. *ἐπὶ πλείω* B. K. *ἐπιπλείω* L. T. *ἐπὶ* cum *ἐγείρετε* conjungendum, ut tmesis sit. Qu. *ἔτι πλείω*.

1778. *θρῆνον*] *θρήνων* L. aliique. Cf. ad 1751. Deesse videntur nonnulla ad integrum dimetrum restituendum. Confer similes exitus fabularum in Aj. Phil. El. Trach., in quibus omnibus anapaesti sunt ut hic. Itaque (*τοῦ τεθνεῶτος*) supplevi.

ADDENDA.

10. ἢ πρὸς βεβήλοις] χώροις βεβήλοις Hart.

11. ἐξίδρυσον] Cf. Eur. Fr. 877. τηλοῦ γὰρ οἴκων βίοτον ἐξιδρυσάμην.

23. ὅποι καθέσταμεν] Cf. Eur. Bacch. 184. ποῖ καθιστάναι πόδα —; Fr. 781, 62. ποῖ πόδα πτερόεντα καταστάσω;

32. εὔκαιρόν ἐστιν] ὁ καιρός ἐστιν conj. Nauck., coll. ad O. R. 1050.

35. Qu. ταῦθ' ἃ μὴ 'ξισμεν φράσαι, aut ὁπόσ' ἄδηλ' ἐστὶν φράσαι, aut ἀγνοοῦμεν νῷν φράσαι. De crasi ἅστ' cf. El. 451. ἅχω. Arist. Ran. 1062. ἁμοῦ.

39. ἔμφοβοι] ἔννυχοι conjicit Nauck.

48. ἐξειδῶ etiam Arndt.

63. πλέον mss. πλέω Suid s. v. ξυνουσία. Unde λεώ Schn. Nescio an recte: vix enim satisfacit sic nude positum ξυνουσίᾳ.

70. ἂν A. οὖν K. L. T. Recte. ἐξ ὑμῶν μόλοι] Qu. ὑμῶν ἂν μόλοι. Exciderat fortasse ἂν post simile -ων.

71. Lege ὡς πρὸς τί; λέξων ἢ καταρτύσων μολεῖν; Cf. O. R. 1174. ὡς πρὸς τί χρείας; Tr. 1182. ὡς πρὸς τί —;

76. ὡς ἰδόντι] Cf. 20. Ant. 1161. Xen. An. III. 1. 38. ὡς μὲν συνελόντι εἰπεῖν. Qu. ὡς ἰδεῖν γε.

83. ὡς ὁμοῦ μόνης πέλας] Sub. οὔσης. Cf. 1588. ὑφηγητῆρος οὐδενὸς φίλων. O. R. 966. ὧν ὑφηγητῶν. 1260. ὡς ὑφηγητοῦ τινος. Tr. 889. ἐπεῖδον ὡς δὴ πλησία παραστάτις.

84. ἕδρας — ἐφ' — τῆσδε] Cf. 19. οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου. 196. ἐπ' ἄκρου λᾶος — ὀκλάσας.

85. Adde Paus. Achaic. 33. καταφεύγουσιν — ἐπὶ τῶν θεῶν αἳ σεμναὶ καλοῦνται τοὺς βωμούς. Si sincerum est τῆσδε γῆς, cf. 668. τᾶσδε χώρας — τὰ κράτιστ' ἔπαυλα. γυῖ'] Cf. Eur. Herc. 231. γήρᾳ τρομερὰ γυῖα.

89. ἐλθόντι mss. ἐλθόντα Elmsl.

92. οἰκήσαντα mss. Fort. οἰκίσοντα. Cf. Aesch. Pr. 250. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα.

94. *παρηγγύα*] Fortasse nil mutandum. Cf. Xen. Cyr. III. 3. 38. *παρηγγύα ὁ Κῦρος σύνθημα, Ζεὺς σύμμαχος καὶ ἡγεμών* (Jebb).

102. *βίου — τινα*] *σεμναὶ — βίου* conjicit Nauck. Vera, ni fallor, emendatio: *βίου* enim post *καταστροφὴν* requiritur, et ineptum hic est *τινα*. Cf. Polyb. 5, 54. *τὴν αὐτὴν ἐποιήσαντο τοῦ βίου καταστροφήν*.

105. *μόχθους — τοὺς ὑπερτάτους* jam Wunder.

107. 108. Excludendi videntur hi versus, quia inepta hic videtur Athenarum mentio.

107. *καλούμεναι*] Legendum, ni fallor, *κεκλημέναι* (aut -*ένη*). Sic Eur. Ion. 8. *ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις,* | *τῆς χρυσολόγχου Παλλάδος κεκλημένη*.

120. *ἀκορέστατος*] Corrigendum *ἀσεβέστατος*. Superlativus nominis *ἀκόρεστος* (Eur. Her. 926.) foret *ἀκορεστότατος,* neque apud probos scriptores legitur forma *ἀκορής*.

132. *στόμα — ἱέντες*] Recte se habet *ἱέντες*. Cf. 963. Ant. 1210. *ἔπος* | *ἵησι δυσθρήνητον*. Tr. 323. Aj. 629. 851. El. 596. Aesch. Pers. 945. Eur. Hel. 1309. Or. 585. Arist. Vesp. 562. Av. 233. Ach. 747. Eq. 522. Herod. II. 15. IV. 23. 2. Thuc. III. 112.

134. Media forma legitur O. R. 155. *ἀμφὶ σοὶ ἁζόμενος*. Aesch. Eum. 389. *τίς οὖν τάδ' οὐχ ἅζεται —;*

138. *ὅδ' ἐκεῖνος ὁρᾶν· ὠσὶν γὰρ ὁρῶ τὸ φατιζόμενον* conj. Bl. *φωνῇ γὰρ ὁρῶ*] Malim *φωνὴν γὰρ ὁρῶ*.

148. Cf. Dem. de Cor. 281. *οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ* (sc. *ἀγκύρας*) *τοῖς πολλοῖς*.

149 sq. Interpunge sic, *ἐὴ ἀλαῶν ὀμμάτων. ἆρα καὶ ἦσθα φυτάλμιος δυσαίων;* | *μακραίων γ' ὅσ' ἐπεικάσαι*.

157. *προπέσῃς*] I. e. *προβῇς προπετῶς*.

166. *λόγον εἴ τιν' ἔχεις πρὸς ἐμὰν λέσχαν*] I. e. si quid mecum communicare vis, si mecum confabulari vis. Dubium videtur utrum verba *πρὸς ἐμὰν λέσχαν* ab *ἔχεις* pendeant an ab *ἀποβάς;* prior constructio probabilior videtur. Melius sensui conveniret *οἴσεις* (cf. Tr. 122.), sed metrum, ni fallor, requirit iambum. Cf. ad str. 134. Mira tamen et insolita est locutio vulgata. Facilius intelligerem *λόγον εἴ τιν' ἔχεις* | *πρὸς ἔμ' ἐξαυδᾶν* (aut *ἐξειπεῖν*) aut aliquid simile. Hodie corrigendum suspicor *λόγον εἴ τιν' ἐρεῖς*. Lectio *οἴσεις* grammatico, ni fallor, debetur qui falsa lectione *ἅζονθ'* in v. str. 134. deceptus esset.

167. *πρὸς ἐμὰν λέσχαν*] Qu. *πρὸς ἔμ' ἐξαυδᾶν* (aut *ἐξειπεῖν*), aut aliquid simile. *ἐμὰν λέσχαν*] Cf. Ant. 159. *σύγκλητον* | *τήνδε γερόντων προύθετο λέσχην*.

176. *οὔτοι μήποτέ σ'*] Qu. *οὔτοι σ' οὔποτέ σ'* (et mox *ἄξει*).

177. *ἄρῃ* etiam Nauck. I. q. *ἐξαναστήσῃ* (47.). Cf. 263. *βάθρων | ἐκ τῶνδέ μ' ἐξάραντες.*

197. *ἐν ἡσυχίᾳ* mss. *ἐν ἀσυχαίᾳ* Herm. Dind. Qu. *ἐν ἀσύχῳ σᾷ βάσει βάσιν* (sc. *ἐμὴν*) *ἁρμόσαι.* Cf. 82. *ἐν ἡσύχῳ.* Sic *ἐν τάχει, ἐν βραχεῖ, ἐν δίκῃ, ἐν παρέργῳ,* etc.

212. *δεινὰ φύσις* mss. *αἰνὰ φύσις* Wund. Cf. Aj. 706. *αἰνὸν ἄχος.* Fort. *ἀμὰ φύσις,* aut potius *ἀμὰν φύσιν.*

220. *Λαΐου ἴστε τιν' οὖν; ΧΟ. ὢ ὢ ἰού* Elmsl. (Recte, opinor.) *Λαΐου ἴστε τιν' ὄντ'; ΧΟ. ὀοοώ* Dind.

229. *ὧν προπάθῃ τὸ τίνειν* mss. Qu. *ἣν προπαθὼν τι τίνῃ.* Cf. 953. *ἀνθ' ὧν πεπονθὼς ἠξίουν τάδ' ἀντιδρᾶν.* 1203. *εὖ πάσχειν, παθόντα δ' οὐκ ἐπίστασθαι τίνειν.*

234. *ἄφορμος*] Schol. *ἀφορμηθείς.* Suspectum. Qu. *ἄπουρος.* Analogiae repugnare videtur *ἄφορμος.*

245. *ὥς τις*] Qu. *ὥσπερ.*

250. Similis locus est Ph. 469. *πρός νύν σε πατρὸς πρός τε μητρὸς, ὦ τέκνον, | πρός τ' εἴ τι σοι κατ' οἶκόν ἐστι προσφιλὲς | ἱκέτης ἱκνοῦμαι —.* Arist. Av. 380. *τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήματα.*

251. *χρέος*] I. q. *χρῆμα.* Cf. ad 250. *θεὸς*] Dii domestici dicuntur, quorum arae in aedibus privatis stabant, ad quae sacra et preces offerebantur. Cf. ad O. R. 16. *προσήμεθα | βωμοῖσι τοῖς σοῖς.* Eur. Alc. 170. *βωμοὺς οἳ (τοὺς?) κατ' Ἀδμήτου δόμους.*

252 sq. Lege sic, *οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν ὅστις ἄν, | εἰ θεὸς ἄγοι (νιν), ἐκφυγεῖν δύναιτο.*

253. *ἄγοι (νιν)* Elmsl. *ἐκφυγεῖν* mss. Nauck. *φυγεῖν* Dind., coll. El. 696. *ὅταν δέ τις θεῶν | βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν.* Fr. 619. *οὐδ' ἂν εἷς φύγοι | βροτῶν ποθ' ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά.* Scholiasta *φυγὴν* per *ἔκφευξιν* explicat v. 280.

272. *οὐδ' ἂν ὧδ'* mss. et vulg. *οὐδ' ἂν ὥς* Bl.

277. In hujusmodi locis *ποιεῖσθαι,* ut *τίθεσθαι,* significat aestimare, Anglice to hold, esteem. Cave ne *ἐν μηδενὸς μοίρᾳ* scribendum putes. *Μὴ ποιεῖσθε μηδενὸς λόγου* significaret Anglice do not take into any consideration; sed *μὴ ποιεῖσθε οὐδενὸς λόγου* do not take into no consideration (do not dishonour).

281. *βροτῶν*] Qu. *ποτέ.*

282. *μὴ κάλυπτε*] Nonnihil suspectum.

284. *τὸν ἱκέτην*] Lege *ἔμ' ἱκέτην,* aut *τὸν ἱκέτην (μ')* —.

303. *μακρὰ κέλευθος*] Ab Athenis tantum mille fere passuum intervallum est, sed in re tam urgente mora non toleranda erat.

Eo minus probabilis est conjectura προσβλέπουσα quod ita ὄμμασι, non ἀπ' ὀμμάτων, ponendum foret, apte autem aliquis φαιδρὰ ἀπ' ὀμμάτων ἀποστίλβειν (Anglice to glisten, sparkle) aut ἀπαστράπτειν dicitur.

327. δύσμοιρ' mss. δύσμορφ' Bücheler. Recte, opinor.

331. δυσμόρου τ' —] Cf. 821. τὴν παῖδ' ἔχεις μου; *ΚΡ.* τήνδε τ' (γ' mss.) οὐ μακροῦ χρόνου.

360. δεῖμ'] πῆμ' conj. Nauck.

362. ποῦ κατοικοίης] Cf. Ph. 40. ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς. Fr. 188. τὸ κοῖλον Ἄργος οὐ κατοικήσαντ' ἔτι.

371. ἀλιτρία legitur etiam Arist. Ach. 907. Ab ἀλιτρός (Homer. Theogn. Solon. Pind.).

374. χρόνῳ mss. Lege γονῇ. Cf. 1294. γονῇ πεφυκὼς — γεραίτερος. Hom. Il. 21, 439. γενεῆφι νεώτερος.

395. Lege ὀρθοῦν γέροντ' οὐ φαῦλον (Angl. no easy matter).

402. δυστυχῶν] ἐκτὸς ὢν Rauchenstein.

408. οὔ τἄρ' recte Elmsl. Cf. ad Aj. 1368.

409. ἆρα] ἄρα L. τἄρα potius requiri videtur. Cf. ad 408. 858. Aj. 1368.

421. πεπρωμένην mss. πεφασμένην recte Tournier.

440. τὸ τηνίκα (tum) Dind., ut apud Platonem aliosque. V. Thes. Gr. VII. 2148. Semel legitur apud Sophoclem.

442. οἱ τοῦ πατρὸς mss. Oedipi filios intelligit Dind., sed vereor ut hujusmodi ellipsis ferri queat. Corrigendum suspicor βίου 'ς τροφάς, aut ἐς τὰς τροφάς, aut ἐς τὸν βίον, aut ἄλλων πάρος, aut οἱ δ' ἐπωφελεῖν | βίου τροφαῖς τὸν πατέρα. Cf. Ph. 275. βορᾶς ἐπωφέλημα σμικρόν.

447. Corrigendum, ni fallor, κοίτης τ' ἄδειαν (et cubilis securitatem, Anglice and freedom from anxiety as to my repose).

453. Cf. 1614. οὐκέτι δυσπόνητον ἕξετ' ἀμφ' ἐμοὶ τροφήν. El. 1144. Ph. 1354.

457. θέλητέ μου (μοι B.) mss. θέληθ' ὁμοῦ — Dind.

458. Lege σὺν ταῖσδε (pro ταῖσι) ταῖς σεμναῖσι —.

463. ἐπεμβάλλεις mss. ἐπαγγέλλει Nauck. Recte, opinor.

475. Legendum οἰὸς νεώρει νεοπόκου μαλλῷ λαβὼν cum Fröhlich. Cf. ad 702. Ant. 157. Eur. Iph. T. 835. βρέφος — νεαρόν. Hipp. 1343. σάρκας νεαράς. Tr. 675. ἀργῆτ' (ἀργῆς?) οἰὸς εὐέρῳ (εὐέρου?) πόκῳ.

480. τοῦ τόνδε πλήσας; ἐκδίδασκε Herw.

481. ὕδατος] Qu. γάλατος. Cf. 160. οὗ κρατὴρ μειλιχίων ποτῶν (i. e. γάλακτος καὶ μέλιτος) ῥεύματι συντρέχει. Sed retinendum

videtur ὕδατος: χοαὶ ἄοινοι enim Eumenidum ex aqua et μελικράτῳ (i. e. mellis et lactis mistura) constabant. V. Phot. s. νηφάλιοι θυσίαι. Cf. etiam Fr. 159. γλώσσης μελίσσης τῷ κατερρυηκότι). Eur. Or. 115. μελίκρατα γάλακτος.

495. λειπόμεσθα γὰρ conj. Nauck. Lege λείπομαι γὰρ οὖν. Cf. Ph. 766. λαμβάνει γὰρ οὖν | ὕπνος μ' —. Eur. El. 290.

506. ἔποικος] Fort. ἔνοικος (incola). Cf. O. R. 1524. Θήβης ἔνοικοι.

516. τᾶς σᾶς ἃ πέπονθ' ἀναιδῆ Reisig. et (ἄναυδα) Nauck. Bothii conjecturam jure repudiat Jebb.

525. Qu. κακᾷ μοίρᾳ (κακᾷ μοίρᾳ Mudge) — ἐνέδησέ μ' ἄτᾳ.

526. γάμων — ἄτᾳ] Cf. Ant. 862. ἰὼ ματρῷαι λέκτρων ἆται.

541. Cf. Eur. Fr. 1132. ἣν μήποτ' ὤφελ' εἰς ὦτα φέρειν —. Sine augmento ὄφελε legitur Aj. 1192. ὄφελεν Pers. 915. Apud Homerum αἴθ' ὄφελον. ἐξελέσθαι significaret adimere (El. 1208.) aut mihi eligere (Tr. 245.). Neuter sensus hic convenit.

546. Qu. ἔχω δ' ἐγὼ aut ἔχω δέ τοι. Cf. 925. οὐδ' εἰ τὰ πάντων εἶχον ἐνδικώτατα.

547 sq. Cum his cf. 271. πῶς ἐγὼ κακὸς φύσιν | ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ', εἰ φρονῶν | ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός; | νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην, | ὑφ' ὧν δ' ἔπασχον εἰδότων ἀπωλλύμην.

562. καὐτὸς] Cf. 997. τοιαῦτα μέντοι καὐτὸς εἰσέβην κακά. 1149.

563. χὤς τις mss. χὼς εἷς Dobr. Cf. ad 739. O. R. 1380. Aj. 1340. Ph. 1344. Tr. 460. Eur. Her. 8.

584. λῆστιν ἴσχεις] λῆστις ἴσχει σ' H. Keck. Fortasse recte. Sed cf. Tr. 801. οἶκτον ἴσχεις. 585. μοι mss. Qu. τοι.

588. ἐκγόνων mss. Jebb. ἐγγενῶν Hart. Bl. Nauck. Weckl. ἐγγοῶν conj. Schneid. Verum videtur ἐγγενῶν, ut allusio sit ad Creontem, non ad Oedipi filios. Redde Anglice, Do you speak of the relations betweem your kindred (Creon) and me? ἢ 'μοῦ mss. κἀμοῦ Schneid. Weckl. Cf. 606. καὶ πῶς γένοιτ' ἂν τἀμὰ κἀκείνων πικρά;

625. Qu. — ἐν οἷσιν ἠρξάμην μένειν, τὸ σὸν | —.

632. ὅτου mss. et vulg. ὅτῳ Suid. s. v. δορύξενας. Quod recipiendum.

661. Si vera lectio est κείνοις, pro ἐπερρώσθη corrigendum erit ἐπέρρωσθεν (ut κατένασθεν Arist. Vesp. 662.). Frustra ἐπερρώσθη pro impersonali accipit Jebb.

663. Cf. Dion. H. I. 63. πλωΐμων (sub ἀνέμων?) γενομένων. Apud Heliodorum πλώϊμά ἐστιν. Cf. vv. πλωΐζειν, πλωάς.

664. Codicum lectionem *κἄνευ τῆς ἐμῆς | γνώμης* jure tuetur Jebb, coll. 115. 1022. Cf. 816. *κἄνευ τῶνδε λυπηθεὶς ἔσει.* 403. *κἄνευ θεοῦ.*

666. *οἶδ' ὅτι* mss. vulg. *ἴσθ' ὅτι* recte Mähly. Nauck.

674. Parum placet correctio *νέμουσα*, pro quo *νεμομένα* potius requireretur.

688. *ἐπ' ἤματι* mss. Qu. *ἀένναος* aut *ἀεννάῳ.*

700. *μέγιστα* mss. *μάλιστα* Bl. Mähly. Herw.

703. Qu. *τὸν οὐ νεάζων οὔτις οὐδὲ* —. *νεαρὸς*] Cf. Aesch. Ag. 359. 1504. *τέλεον νεαροῖς ἐπιθύσας.* *γήρᾳ συνναίων*] Cf. Aj. 611. *μανίᾳ ξύναυλος.* Eur. Fr. 897, 8. *χωρίς τ' ἀγρίων ναίοιμι τρόπων.*

721. *ἐμὸν τόδ'*] Cf. 197. *πάτερ, ἐμὸν τόδ'* —. El. 1470. *οὐκ ἐμὸν τόδ' ἀλλὰ σὸν — τὸ ταῦθ' ὁρᾶν* —. Ph. 1165. Aesch. Sept. 232. *σὸν δ' αὖ τὸ σιγᾶν.*

739. Versum damnat etiam Nauck.

748. *αἰκίας* mss. et vulg. Scripsi analogiae convenienter *αἰκείας.* Nihil est frequentius quam *ι* pro *ει* positum in codicibus mss.

758. Qu. *τήνδε μὲν* (pro *τὴν*) *πόλιν.* *φίλως εἰπών* mss. *φίλος λιπών* Herw. Ipse malim *φίλως λιπών*: dicebant enim non *φίλως εἰπεῖν τινὰ* sed *φίλα.* Cf. El. 1471. *προσηγορεῖν φίλως.* Tr. 628. *αὐτὴν ὡς ἐδεξάμην φίλως.*

767. Vix apte conferri debet Aesch. Eum. 733. *ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι.*

780. *ἆρ' ἂν* mss. *ἆρ' οὐ* Hart. Herw. Recte, opinor. Versum spurium habet Nauck.

783. *καὶ τοῖσδ'* mss. *καὶ τάδ'* Bl. *κακόν*] *τίς εἶ* malint Nauck. et O. Hense.

784. *ἥκεις ἔμ' ἄξων*] Qu. *ἥκεις μ' ἀπάξων.*

796. De articulo cf. Ant. 676. *σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία.* El. 168. *τὸν ἀνήνυτον οἶτον ἔχουσα κακῶν.* Aesch. Pers. 708. *ὁ μάσσων βίοτος ἦν ταθῇ πρόσω.* Dind. Lex. Soph. p. 411.

797. *ἀλλ' οἶδα γάρ σε*] *ἀλλ' ἴσθι γάρ με* Mein.

800. *δυστυχεῖν*] *δυστομεῖν* Mähly. *δυστοχεῖν* conj. Mein. Verbum nusquam repertum.

807. *δίκαιον* mss. Qu. *καὶ δεινόν*, sed cf. 1000. *σὺ δ', εἶ γὰρ οὐ δίκαιος ἀλλ' ἅπαν* (*ἀλλὰ πᾶν*?) *καλὸν | λέγειν νομίζων ῥητὸν ἄρρητόν τ' ἔπος,* —. 938.

830. *τῆς ἐμῆς*] *τῆς κόρης* Tournier. probat Nauck.

857. Cf. Ant. 485. *εἰ ταῦτ' ἀνατὶ τῇδε κείσεται πόλει.*

858. Qu. *μεῖζόν τι τἄρα.* Sed cf. 409. *ἔσται ποτ' ἄρα τοῦτο Καδμείοις βάρος.*

866. Dindorfius per ψιλὸν ὄμμα Antigonam intelligit, per ὄμμασιν τοῖς πρόσθεν Oedipi oculos quos ipse effoderat. Sed ita saltem ὅς μου, κάκιστε, — scribendum foret, coll. 895.

867. ὄμμασιν] Similiter filiae Oedipi σκῆπτρα ejus appellantur 1109.

868. θεῶν jure suspectat Jebb. Qu. πρόπαν.

918. Cf. Ant. 1325. τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα.

925. ἐνδικώτατα] I. e. μέγιστα δικαιώματα. Thuc. I. 41. δικαιώματα τάδε πρὸς ὑμᾶς ἔχομεν. III. 54. παρεχόμενοι — ἃ ἔχομεν δίκαια. (Jebb)

939. νέμων etiam Schn. Cf. 917 sq.

948. χθόνιον] I. e. ἔγχωρον.

1007. τιμὰς (τιμᾶς pr.) σεβίζειν L. Qu. τιμᾶν σεβίζουσ'.

1012. ἀρωγοὺς] ἀρῶμαι (ejecto v. 1011.) Nauck. Probabilis correctio.

1019. πομπὸν δέ μοι Heath. Melius foret πομπόν τέ μοι.

1021. ἡμῶν mss. ἡμῖν Elmsl. corruptum habet Nauck. τὼ παῖδ', ὁδηγῶν conjicit Schneid. τὰς τοῦδε παῖδας conjicit Dind. τὰς παῖδας, αὐτίκ' αὐτὸς O. Hense.

1023. Cf. 653. ἥξουσιν ἄνδρες. ΘΗ. ἀλλὰ τοῖσδ' ἔσται μέλον. Correctionem meam οἷς μέλει τόδ' ut non satis certam revocari velim. Scripserat fortasse οὑπιόντες (οἱ ἐπιόντες).

1028. οὐκ ἄλλον ἕξεις] Quid lateat admodum incertum est.

1054. Cf. Ph. 955. θῆρ' ὀρειβάτην. Eur. Tro. 436. ὀρειβάτης Κύκλωψ. El. 170. ἀνὴρ Μυκηναῖος οὐριβάτας.

1059. Construe τάχα πελῶσι (appropinquabunt) ἐς νομὸν ἐφ' ἕσπερον πέτρας νιφάδος (λιχάδος?) Οἰάτιδος.

1061. Jebb construit πελάζει εἰς νομὸν τὸν ἐφέσπερον πέτρας νιφάδος Οἰάτιδος.

1112. Cf. Ant. 1236. ἐπενταθεὶς | ἤρεισε πλευραῖς μέσσον ἔγχος.

ἀμφιδέξιον] Cf. O. R. 1243. ἀμφιδεξίοις ἀκμαῖς (i. e. χερσί). Aesch. Fr. 240. ἀμφιδεξίοις χερσίν (χερσὶν ἀμφιδεξίοις?).

1119. πρὸς τὸ λιπαρὲς] Suspectum Nauckio. Ipse correxerim πρὸς τὰ φίλτατα, quod optimum sensum praebet. Constructioni πρὸς τὸ λιπαρὲς (i. e. λιπαρῶς, immodice, effuse, supra modum) — μηκύνω λόγον favet Electrae v. 464. πρὸς εὐσέβειαν (i. e. εὐσεβῶς) ἡ κόρη λέγει. Causa corruptelae fuerit particula ἐς in loco remotiore posita. Sive cum θαύμαζε sive cum μηκύνω verba πρὸς τὸ λιπαρὲς construas, offensionis causa est. Quare inter μὴ θαύμαζέ μου (pro πρὸς) τὸ λιπαρές, | τέκν' εἰ —, et μὴ θαύμαζε, πρὸς τὰ φίλτατα | τέκν' εἰ — optio videtur esse.

1132. *ἄθλιος γεγὼς*] Ut ab diis antequam natus esset ad scelerum dirorum patrationem destinatus. Fortasse nil mutandum.

1156. Lege *σοὶ μὲν ὁμόπολιν*. Cf. Herod. 2, 66. *ὁμότροφα τοῖσι ἀνθρώποισι θηρία*. *Ὁμόπολις* (ejusdem civitatis civis) legitur Plut. Mor. 276 B. Altera forma est Ant. 933. *Θήβης τῆσδ' ὁμόπτολις λεώς*. Cf. *ὁμόφυλος, ὁμόγνιος, ὁμογενής, ὁμόγαμος, ὁμόλεκτρος, ὁμόσπορος, ὁμόπτερος, ὁμόδουλος*. Qu. *σοῦ μὲν ὁμόπολιν*. Incert. Stobaei XI. 2. *ἀλάθεια θεῶν ὁμόπολις*. Cum *ἔμπολις* conferri possunt *ἔνδημος, ἔγχωρος, ἔντοπος*, ut *σὸν ἔμπολιν* i. q. *σὸν πολίτην* significaret (ut in Ach. 333. *δημότης ὅδ' ἔστ' ἐμὸς*), sed aliud quid requiri ostendere videtur *σοι* (ex *σηι* corruptum). Itaque corrigendum arbitror *σῇ μὲν ἐν πόλει* aut *σῆς μὲν ἐκ πόλεως*. Prona fuit corruptela *ἔμπολιν* pro *ἐν πόλει*. Cf. Tr. 615. *σῆμα — σφραγῖδος ἕρκει τῷδ' ἐπὸν μαθήσεται* (*ἐπ' ὄμμα θήσεται* mss.).

1157. *πως*] Qu. *τῷ* (*τῶι*). Cf. 156. et ad Ph. 263.

1162. *οὐκ ὄγκον πλέω*] Fort. *οὐδ'* —.

1192—1200. Haec correctori hujus fabulae alicui tribuit Nauck.

1212. *τοῦ μετρίου πέρα*] Cf. Oed. R. 74. *τοῦ — εἰκότος πέρα*. Dem. p. 1123, 20. *οὔκουν δεινὸν — καὶ πέρα δεινοῦ τούτους περιορᾶν* —;

1213. *φυλάσσων* mss. *ὀφείλων* Mähly. Fortasse recte. Cf. Ant. 1028. *αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει*. 470. *μωρίαν ὀφλισκάνει*. O. R. 572. *ὀφλήσει κακίαν*. Sed vereor ut *ὀφείλειν* eodem sensu quo *ὀφλισκάνειν* usurpari queat.

1215. *αἱ μακραὶ ἁμέραι*] *ἁμέραι μυρίαι* conj. Nauck. *κατέθεντο*] Deponunt. Cf. 227. Suspectum.

1220. Cum neque activo neque passivo sensu conveniat epithetum *ἰσοτέλεστος*, dubito num sanum sit.

1229. *κούφας ἀφροσύνας γέμων* conj. Nauck.

1242. Cf. Tr 111. *πολλὰ γὰρ ὥστ' ἀκάμαντος ἢ* (*ἢ* 'κ?) *νότου ἢ βορέα τις κύματ' ἐν εὐρέϊ πόντῳ βάντ' ἐπιόντα τ' ἴδῃ, οὕτω δὲ τὸν Καδμογενῆ στρέφει* —. Ant. 426. El. 27.

1248. Forma *ἐννύχιος* legitur 1558. Aj. 180. 1211. *νύχιος* Ant. 1147. Ph. 858.

1281. *ἢ τέρψαντά τι*] Corrupta haec habet Nauck. Idem v. 1282. spurium habet.

1300. *συνείς τε κἀπὸ μάντεων ταύτῃ κλύων* (*κλύων* aliquot mss.) Hart.

1325. *ἄφοβον*] Suspectum.

1388. Cf. Ant. 1263. *ὦ κτανόντας τε καὶ θανόντας βλέποντες*.

1402. Cf. O. R. 1295. *τοιοῦτον οἷον καὶ στυγοῦντ' ἐποικτίσαι*.

Tr. 672. τοιοῦτον ἐκβέβηκεν οἷον — ὑμῖν θαῦμ' ἀνέλπιστον μαθεῖν (δοκεῖν?). Qui tamen loci non omnino similes sunt.

1411 sq. καὶ σφῷν ὃ [melius ἃ] νῦν πονεῖτον οὐκ ἐλάσσονα | ἔπαινον οἴσει τῆς ἐμῆς ὑπουργίας conj. Nauck.

1460. Διὸς πτερωτὸς — βροντὴ] Cf. Arist. Av. 1714. πτεροφόρον Διὸς βέλος. 576. πτερόεντα κεραυνόν.

1462. μάλα] Hoc ut nimis pedestri sermoni idoneum suspectant Hart. Nauck.

1491. Cf. Ant. 1197. εἰπόμην πόσει | πεδίον ἐπ' ἄκρον.

1494. Dindorfius confert ὁ Βακχεῖος (leg. Βάκχιος) θεὸς O. R. 1105. Quod tamen vix simile exemplum videtur esse.

1495. ἑστίαν] Qu. ἐσχάραν. Cf. Arist. Av. 1232. βουθύτοις ἐπ' ἐσχάραις.

1551. τὴν τελευταίαν ὁδὸν | στυγνὸν πρὸς Ἅιδην Bl.

1575. Cf. carmen ithyphallicum Athen. 622 D. ἀνάγετε πάντες, εὐρυχωρίαν τῷ θεῷ ποιεῖτε· μέλλει γὰρ — διὰ μέσου βαδίζειν.

1531. γόνῳ Nauck., quum προφερτάτῳ per se hoc significare nequeat.

1534. οὗ δὲ κυρία πόλις conj. Nauck. εἰ δὲ — jam Kayser.

1573. αἰὲν ἔχει λόγος conj. Wunder.

1575. Sensus est εὐρυχωρίαν ποιήσατε ξένῳ —, to make a clear way for the stranger —. Athen. XIV. 622 D. εὐρυχωρίαν τῷ θεῷ ποιεῖτε.

1584. τὸν ἄβιον βίοτον conj. Nauck., coll. Eur. Hipp. 868. ἀβίοτος βίου τύχα. Anth. P. 7, 715. ἄβιος βίος. Fortasse recte.

1595. Quum ad familiares in Coloni vicinia locos (κοῖλος κρατήρ, πέτρος Θορίκιος, κοίλη ἄχερδος, λάϊνος τάφος) allusio sit et in diversa Atticae parte situs fuerit Thoricus, correctionem τρικορύφου quamvis paullo audaciorem recipiendam duxi. Proprium hujus saxi prope Colonum siti nomen τρικόρυφος πέτρος fuisse, sed in oraculo citato metri gratia λίθος τρικάρανος appellatum id fuisse, suspicor. τούτου μέσος στὰς requirit Nauck.

1609. παμμήκεις] παμμιγεῖς conj. Nauck.

1646. εἶτ' ἄκασκα — στείχοντες ὡμαρτοῦμεν (et ταῖσι παρθένοις pro σὺν ταῖς παρθένοις) conj. Nauck.

1650. ἐπίσκιον] ἐπισκεπῆ Rauchenstein. Schol. τῇ χειρὶ σκέποντα τοὺς ὀφθαλμούς.

1653. ἔπειτα μέντοι βαιὸν —] Qu. ἔπειτα μετά τι (aut μετὰ δή) —. Sed ἔπειτα μέντοι legitur Ph. 352. Quod si sincerum est βαιὸν, conferri potest παλαιὸν (πάλαι 'στίν?) Ph. 493.

1659. ἐξέπραξεν] Schol. ἀνεῖλεν. Eodem sensu διαπράσσειν Tr. 784.

1676. *ἰδόντε*] Forma masculina feminini generis. Sic Hom. Il. 8, 455. *πληγέντε.* Hesiod. Op. 199. *προλίποντε.* Soph. El. 980. *ἀφειδήσαντε.* 1003. *πράσσοντε.* Eur. Alc. 902. *διαβάντε.* Hipp. 387. *ἔχοντε.* Arist. Eccl. 1087. *ἕλκοντε.* Plat. Phaedr. 237 D. *ἄρχοντε καὶ ἄγοντε* (*δύο ἰδέα*). Hermipp. com. Fr. incert. 85. *ἀκολουθοῦντε.* Altera forma, qualis est *παθούσα,* quamvis rarior, in usu fuisse videtur, ut in inscriptione (A. C. 398.) *δύο σφραγῖδε — ἐχούσα.*

1744. *μόγος*] Nomen non alibi repertum in Tragoedia.

1765. *ἄλυπον*] Cf. Fr. 174. *ἄλυπον — ἄνθος ἀνίας.*

Corrigenda.

221. Pro "*ΟΙ. τό τε* —" corr. "*τό τε* —".

228. Pro "*μοίραι διά?*" corr. "*μοίραι διά.*"

251. Corr. "Cf. O. R. 16. —." Ibid. Pro "*Ἀδμήτου*" corr. "*Ἀδμήτου.*"

277. Corr. "expulerit, relicto tantum *μοίρᾳ.*"

303. Corr. "Revera non est longum iter."

327. Pro "*δύσμοιρ'* mss." corr. "*δύσμορ'* L. al. *δύσμοιρ'* A. al."

330. Pro "*ὄθλιαι*" corr. "*ἄθλιαι.*"

441. Pro "*βίου τροφὰς*" corr. "*βίου 'ς τροφάς.*" Post *ἐπωφελεῖν* enim rei accusativus sequi non potest.

454. Dele "*ἔχρησεν, ἐξέχρη,* aut *ἔφρασεν.*"

460. Adde "*τοῖς δ'* (*οῖ* in litura) *ἐμῆς* L."

469. Pro "*ἱρὰς*" corr. "*ἱεράς.*"

475. Post *μαλλῷ* ponatur plenum punctum.

570. Pro "*λέγειν* mss." corr. "*φράσαι* mss."

664. Pro "*ὑφημητοῦ*" corr. "*ὑφηγητοῦ.*"

790. Dele "Glossema *τοσοῦτον — ἐνθανεῖν μόνον.*"

861. Pro "*δεινοὶ λόγοι* Nauck." corr. "*δεινοὶ λόγοι σου* Nauck."

1019. Pro "*τῆς ἐκεῖ σ' ὁμοῦ* —." corr. *τῆς ἐκεῖσ', ὁμοῦ* —."

1313. Corrige sic, "Cf. El. 158. *οἷα Χρυσόθεμις ζώει* —. Aj. 945."

1322. Pro "*μητρός*" corr. "*μητρὸς.*"

HALIS, TYPIS ORPHANOTROPHEI.

